ἀνὴρ δ' ὅταν μάλιστα θυμηδεῖν δοκῇ
κατ' οἶκον ἢ θεοῦ μοῖραν ἢ ἀνθρώπου χάριν,
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.

ὅκου γυνὴ γάρ ἐστιν, οὐδ' ἐς οἰκίην
ξεῖνον μολόντα προφρόνως δεχοίατο.
ἥτις δέτοι μάλιστα σωφρονεῖν δοκεῖ,
αὕτη μέγιστα τυγχάνει λωβωμένη·
κεχηνότος γὰρ ἀνδρὸς — οἱ δὲ γείτονες
χαίρουσ' ὁρῶντες καὶ τόν, ὡς ἁμαρτάνει.
τὴν ἣν δ' ἕκαστος αἰνέσει μεμνημένος
γυναῖκα, τὴν δὲ τοὐτέρου μωμήσεται·
ἴσην δ' ἔχοντες μοῖραν οὐ γιγνώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακόν,
καὶ δεσμὸν ἀμφέθηκεν ἄρρηκτον πέδης,
ἐξ οὗτε τοὺς μὲν Ἀΐδης ἐδέξατο
γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους.

8. 9. [9.]

* * * Ὥσπερ ἔγχελυς καταγλοιοῦ.

* * *

Ἐρῳδιὸς γὰρ ἔγχελυν Μαιανδρίην
τριόρχον εὑρὼν ἐσθίοντ' ἀφείλετο.

10. [15.]

Τί ταῦτα μακρῶν διὰ λόγων ἀνέδραμον;

11. [16.]

Οἷόν τε χηνὸς ᾠεον Μαιανδρίου.

12. [17.]

Σπλάγχν' ἀμπέχοντες αὐτίκ' ἰκτίνου δίκην.

13. [18.]

* * Τόδ' ἡμῖν ἑρπετὸν παρέπτατο,
τὸ ζωΐων κάκιστον ἔκτηται βίον.

[redacted]

14. [19.]

χν τις οὕτω δασκίοις ἐν οὔρεσιν
λέοντ' ἔδεισεν οὐδὲ πάρδαλιν,
ις στενυγρῇ συμπεσὼν ἐν ἀτραπῷ.

15.

οισι τευθίς, κωβιοῖσι κωρίδες.

16. [20.]

ιφόμην μύροισι καὶ θυώμασιν
ακκάρι· καὶ γάρ τις ἔμπορος παρῆν.

17. [20.]

ῆς ὄπισθεν ὀρσοθύρης ἠλσάμην.

18. [22.]

ιαῦλα βαίνων, ἵππος ὡς κορωνίης.

19. [23.]

φλὸς ἤ τις σκνιπὸς ἢ μέγα βλέπων.

20. [24.]

σι Νύμφαις τῷ τε Μαιάδος τόκῳ·
γὰρ ἀνδρῶν αἷμ' ἔχουσι ποιμένων.

21. [25.]

πορδακοῖσιν ἐκπέσοντες εἵμασιν.

22. 23. [26.]

τολλὰ μὲν δὴ προεκπονῇ, Τηλέμβροτε.

* * * *

ὗθα μέντοι τυρὸς ἐξ Ἀχαΐης
ἴλιος θαυμαστός, ὃν κατήγαγον.

24. [27.]

* Χὼς ἄφευσα χὼς ἐμίστυλα κρέα
ἱρωστί· καὶ γὰρ οὐ κακῶς ἐπίσταμαι.

25. [28.]

Ἔδωκεν οὐδεὶς οὐδ' ἀρυστῆρα τρυγός.

26. [29.]

Ἀπὸ τράπεζαν εἶλε καὶ ποτήρια.

27. [30.]

Αὕτη δὲ φοξὴ χεῖλος Ἀργειη κύλιξ.

28. [31.]

Ὁπλὰς ἐκίνει τῶν ὀπισθίων ποδῶν.

III.

HIPPONAX.

ΒΙΒΛΙΟΝ Α.

1. [1. 18.] *)

Ἔβωσε Μαίας παῖδα, Κυλλήνης πάλμυν·
Ἑρμῆ κυνάγχα, Μῃονιστὶ Κανδαῦλα,
φωρῶν ἑταῖρε, δεῦρό μοι σκαπαρδεῦσαι.

2. [5.]

Κίκων δ' ὁ πανδάλητος, ἄμμορος καύης,
τοιόνδε δάφνης κλάδον ἔχων . . . .

*) Numeri adiecti sunt editionis Welckerianae.

3. [44.]

ξικὸν μὲν ἠμφιεσμένη λῶπος.

4. [44.]

, καθαίρειν καὶ κράδῃσι βάλλεσθαι.

5. [44.]

ͻντες ἐν λειμῶνι καὶ ῥαπίζοντες
ͻσι καὶ σκίλλῃσιν, ὥσπερ φαρμακόν.

6. [44.]

ι' αὐτὸν ἐς φαρμακὸν ἐκποιήσασθαι.

7. [44.]

ι παρέξειν ἰσχάδας τε καὶ μᾶζαν
υρόν, οἷον ἐσθίουσι φαρμακοί.

8. [44.]

ι γὰρ αὐτοὺς προσδέχονται χάσκοντες
ις ἔχοντας, ὡς ἔχουσι φαρμακοῖς.

9. [44.]

γένηται ξηρός, ἐν δὲ τῷ θυμῷ
χκὸς ἀχθεὶς ἑπτάκις ῥαπισθείη.

11. [4.]

μὲν ἀγέϊ Βουπάλῳ κατηρῶντο.

12.

τάλαντι Βουπάλῳ συνῴκησας;

* 13. [6. 33.]

αξομένιοι, Βούπαλός τε κἄθηνις,
αθ' Ἱππώνακτος· οὐ γὰρ ἀλλ' ἥκω.

14.

Τούτοισι θηπῶν τοὺς Ἐρυθραίων παῖδας
φὴ μητροκώτης Βούπαλος σὺν Ἀρήτῃ
κνίζων καὶ φελιζων τὸν δυσώνυμον ἄρτον.

15.

Τέαρε . . . . . δεύειε τὴν ἐπὶ Σμύρνης·
ἴθι διὰ Λυδῶν παρὰ τὸν Ἀττάλεω τύμβον
καὶ σῆμα Γύγεω καὶ μεγάστρυ στήλην
καὶ μνῆματ' ὥτος μυτάλιδι πάλμυδος,
πρὸς ἥλιον δύνοντα γαστέρα τρέψας.

16 [10.]

Ἑρμῆ, φίλ' Ἑρμῆ, Μαιαδεῦ, Κυλλήνειε,
ἐπεύχομαί τοι, κάρτα γὰρ κακῶς ῥιγῶ.

17. [10.]

Δὸς χλαῖναν Ἱππώνακτι, κάρτα γὰρ ῥιγῶ
καὶ βαμβακύζω.

18. [9.]

Δὸς χλαῖναν Ἱππώνακτι καὶ κυπασσίσκον
καὶ σαμβαλίσκα κἀσκερίσκα καὶ χρυσοῦ
στατῆρας ἑξήκοντα τοὐτέρου τοίχου.

19. [9.]

Ἐμοὶ γὰρ οὐκ ἔδωκας οὔτε κω χλαῖναν
δασεῖαν, ἐν χειμῶνι φάρμακον ῥίγευς,
οὔτ' ἀσκέρῃσι τοὺς πόδας δασείῃσιν
ἔκρυψας, ὡς μή μοι χίμετλα ῥήγνυται.

20. [14.]

Ἐρέω γὰρ οὕτω· Κυλλήνιε Μαιάδος Ἑρμῆ.

21. [15.]

Τοὺς ἄνδρας τούτους ὀδύνη 'πιαλεῖ ῥιγηλή.

22 A.

Μακάριος ὅστις θηρεύει.

22 B.

Καίτοι γ' εὔωνον αὐτὸν εἰ θέλεις δώσω.

ΒΙΒΛΙΟΝ Β.

26. [54.]

'Ακήρατον δὲ τὴν ἀπαρτίην ἔχει.

ΕΞ ΑΔΗΛΩΝ ΒΙΒΛΙΩΝ.

ΧΩΛΙΑΜΒΟΙ.

28. [11.]

Χρόνος δὲ φευγέτω σε μηδὲ εἷς ἀργός.

29. [12.]

Δύ' ἡμέραι γυναικός εἰσιν ἥδισται,
ὅταν γαμῇ τις κἀκφέρῃ τεθνηκυῖαν.

30 A. [2.]

Ὦ Ζεῦ πάτερ, θεῶν 'Ολυμπίων πάλμυ.

30 B. [3.]

Τί μ' οὐκ ἔδωκας χρυσόν, ἀργύρου πάλμυ;

31. [16.]

'Από σ' ὀλέσειεν Ἄρτεμις, σὲ δὲ κὡπόλλων.

32. [17.]

Παρ' ᾧ σὺ λευκόπεπλον ἡμέρην μείνας
πρὸς μὲν κυνήσειν τὸν Φλυησίων Ἑρμῆν.

33.

Ἔψισε κἀπέλουσεν ἀσκαρίζοντα.

34. [19.]

Συκῆν μέλαιναν, ἀμπέλου κασιγνήτην.

35. [20.]

Ὁ μὲν γὰρ αὐτῶν ἡσυχῇ τε καὶ ῥύβδην
θυννίδα τε καὶ μυττωτὸν ἡμέρας πάσας
δαινύμενος, ὥσπερ Λαμψακηνὸς εὐνοῦχος,
κατέφαγε δὴ τὸν κλῆρον· ὥστε χρὴ σκάπτειν
πέτρας ὀρείας, σῦκα μέτρια τρώγων,
καὶ κρίθινον κόλλικα, δούλιον χόρτον.

36. [26.]

Οὐκ ἀτταγᾶς τε καὶ λαγὼς καταβρύκων,
οὐ τηγανίτας σησάμοισι φαρμάσσων,
οὐδ' ἀττανίτας κηρίοισιν ἐμβάπτων.

37. [21.]

Ὁ δ' ἐξολισθὼν ἱκέτευε τὴν κράμβην
τὴν ἑπτάφυλλον, ᾗ θύεσκε Πανδώρῃ
Ταργηλίοισιν ἔγχυτον πρὸ φαρμάκου.

38. [32.]

Ἐκ πελλίδος πίνοντες· οὐ γὰρ ἦν αὐτῇ
κύλιξ, ὁ παῖς γὰρ ἐμπεσὼν κατήραξεν.

39. [24.]

. . . . *Ἐκ δὲ τῆς πέλλης*

ἔπινον, ἄλλοτ' αὐτός, ἄλλοτ' Ἀρήτη
προὔπινεν.

40. [22.]

Σπονδῇ τε καὶ σπλάγχνοισιν ἀγρίης χοίρου.

41. [27.]

Βακκάρι δὲ τὰς ῥῖνας
ἤλειφον· ἔστι δ' οἷά περ κρόκος . .

42.

Ἐπ' ἁρμάτων τε καὶ Θρηϊκίων πώλων
λευκῶν ἰὼν κατ' ἐγγὺς Ἰλίου πύργων
ἀπηναρίσθη Ῥῆσος, Αἰνειῶν πάλμυς.

43.

Κακοῖσι δώσω τὴν πολύστονον ψυχήν,
ἢν μὴ ἀποπέμψῃς ὡς τάχιστά μοι κριθέων
μέδιμνον, ὡς ἂν ἀλφίτων ποιήσωμαι
κυκεῶνα, πίνων φάρμακον πονηρίης.

* 44. [113.]

Ἀναξίως ἀδμῆτι προσπταίων κώλῳ.

45. [28.]

Καὶ Μύσων, ὃν ὡπόλλων
ἀνεῖπεν ἀνδρῶν σωφρονέστατον πάντων.

46. [30.]

Καὶ τοὺς σολοίκους, ἢν λάβωσι, περνᾶσιν,
Φρύγας μὲν ἐς Μίλητον ἀλφιτεύσοντας.

47. [31.]

…ικει δ' ὄπισθε τῆς πόληος ἐν Σμύρνῃ,
…αξὺ Τρηχείης τε καὶ Λέπρης ἀκτῆς.

* 48. [34.]

Εἰς ἄκρον ἕλκων, ὥσπερ ἀλλᾶντα ψύχων.

49. [7.]

Μιμνῆ κακομήχανε, μηκέτι γράψῃς
ὄφιν τριήρευς ἐν πολυζύγῳ τοίχῳ
ἀπ' ἐμβόλου φεύγοντα πρὸς κυβερνήτην·
αὕτη γάρ ἐστι συμφορή τε καὶ κληδών
Νικύρτα καὶ Σάβαυνι τῷ κυβερνήτῃ,
ἢν αὐτὸν ὄφις τὠντικνήμιον δάκνῃ.

50. [35.]

Ἔπειτα μάλθῃ τὴν τρόπιν παραχρίσας.

51. [8.]

Ὁ δ' αὐτίκ' ἐλθὼν σὺν τριοῖσι μάρτυρσιν,
ὅπου τὸν ἔρπιν ὁ σκότος καπηλεύει,
ἄνθρωπον εὗρε τὴν στέγην ὀφέλλοντα
— οὐ γὰρ παρῆν ὄφελμα — πυθμένι στοιβῆς.

52. [36.]

Καί μιν καλύπτει· μῶν χαραδριὸν περνάς;

53. [38.]

Ἀλλ' αὐτίκ' ἀλλήλοισιν ἐμβιβάξαντες.

54. [39.]

Κριγὴ δὲ νεκρῶν ἄγγελός τε καὶ κῆρυξ.

55. [40.]

Ὤμιξεν αἷμα καὶ χολὴν ἐτίλησεν.

56. [41.]

Σίφωνι λεπτῷ τοὐπίθημα τετρήνας.

57. [42.]

ζουσιν ὥσπερ εἰ τροπηΐου σάκκος.

58. [43.]

ειφα ῥόδινον ἡδὺ καὶ λέκος πυροῦ.

59. [61.]

ς τὴν μαρίλην τοῦ ποδὸς φῷδας θέρμων
ταύεται.

60.

ῥῖνα καὶ τὴν μύξαν ἐξαράξασα.

* 61.

ύνης ἀνήρ· ὁ δ' ἑσπέρης καθεύδοντα
οῦν ἔδυσεν.

62.

Οἱ δέ μευ πάντες
ντες ἐν τῇσι γνάθοις κεκινέαται.

63. [37.]

γὼ δὲ δεξιῷ παρὰ ῥητήρ
αῖος ἐλθὼν ῥῳδιῷ κατηυλίσθην.

64.

'Αθηνᾶ μαλίς
ς κελαῖρε, καί με δεσπότεω βεβροῦ
ντα λίσσομαί σε μὴ ῥαπίζεσθαι.

ΤΡΙΜΕΤΡΑ.

72. [52.]

ος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι,
ον γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν.

αὕτη γὰρ ἡ προὶξ οἰκίαν σώζει μόνη.
ὅστις δὲ τρυφερὰν τὴν γυναῖκ' ἄγει λαβὼν
* * * * * *
συνεργὸν οὗτος ἀντὶ δεσποίνης ἔχει
εὔνουν, βεβαίαν εἰς ἅπαντα τὸν βίον.]

73. [35.]

Ὀλίγα φρονοῦσιν οἱ χάλιν πεπωκότες.

74.

Οὔ μοι δικαίως μοιχὸς ἁλῶναι δοκέει
Κριτίης ὁ Χῖος ἐν κασωρικῷ δόμῳ.

76. [65.]

Λαιμᾷ δέ σου τὸ χεῖλος ὡς ἐρῳδιοῦ.

ΤΕΤΡΑΜΕΤΡΑ.

* 78. [112.]

Μητροτίμῳ δηὖτέ με χρὴ τῷ σκότῳ δικάζεσθαι.

79. [32.]

Καὶ δικάσσασθαι Βίαντος τοῦ Πριηνέος κρέσσων.

80.

Μηδὲ μοιμύλλειν Λεβεδίην ἰσχάδ' ἐκ Καμανδωλ

81.

. . *Στέφανον εἶχον κοκκυμήλων καὶ μίνθης.*

82. [57.]

Κυπρίων βέκος φαγοῦσι κἀμαθουσίων πυρόν.

83. [58. 59.]

Λάβετέ μου θαἰμάτια, κόψω Βουπάλου τὸν ὀφθαλμόν·
ἀμφιδέξιος γάρ εἰμι κοὐχ ἁμαρτάνω κόπτων.

84. [60.]

. . Ἐκτίλλοι τις αὐτοῦ τὴν τράμιν ὑποργάσαι.

Ε Ξ Α Μ Ε Τ Ρ Α.

85. [56.]

Μοῦσά μοι Εὐρυμεδοντιάδεα, τὴν ποντοχάρυβδιν,
τὴν ἐγγαστριμάχαιραν, ὃς ἐσθίει οὐ κατὰ κόσμον,
ἔννεφ', ὅπως ψηφῖδι κακὸς κακὸν οἶτον ὄληται,
βουλῇ δημοσίῃ παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο.

* 89. [114.]

Ἑρμῆ μακάρταθ', ὃς καθ' ὕπνον οἶδας ἐγρήσσειν.

90. [64.]

Εἴ μοι γένοιτο παρθένος, καλή τε καὶ τέρεινα.

* 91. [113.]

Ὁ Κιθαιρὼν Λυδίοισιν ἐν χοροῖσι Βακχῶν.

* 92. [111.]

Καὶ κνίσῃ τινὰ θυμιήσας.

* 93. [115.]

Οἱ θεοὶ τὰ λοιπὰ Ταντάλῳ δόντες.

IV.

A N A N I U S.

Χ Ω Λ Ι Α Μ Β Ο Ι.

1.

Ἄπολλον, ὅς που Δῆλον ἢ Πυθῶν' ἔχεις,
ἢ Νάξον ἢ Μίλητον ἢ θείην Κλάρον,
ἴκου καθ' ἱερόν, ἢ Σκύθας ἀφίξεαι.

2.

Χρυσὸν λέγει Πύθερμος ὡς οὐδὲν τἆλλα.

3.

Εἴ τις καθείρξαι χρυσὸν ἐν δόμοις πολλόν
καὶ σῦκα βαιὰ καὶ δύ' ἢ τρεῖς ἀνθρώπους,
γνοίη χ' ὅσῳ τὰ σῦκα τοῦ χρυσοῦ κρέσσω.

4.

Καὶ σὲ πολλὸν ἀνθρώπων
ἐγὼ φιλέω μάλιστα, ναὶ μὰ τὴν κράμβην.

Τ Ε Τ Ρ Α Μ Ε Τ Ρ Α.

5.

Ἔαρι μὲν χρόμιος ἄριστος, ἀνθίας δὲ χειμῶνι·
τῶν καλῶν δ' ὄψων ἄριστον καρὶς ἐκ συκέης φύλλου.
ἡδὺ δ' ἐσθίειν χιμαίρης φθινοπωρισμῷ κρεῖας·
δέλφακος δ', ὅταν τραπέωσι καὶ πατέωσιν, ἐσθίειν·
καὶ κυνῶν αὕτη τόθ' ὥρη καὶ λαγῶν κἀλωπήκων.
ὄϊος αὖθ', ὅταν θέρος τ' ᾖ κὴχέται βαβράζωσιν.
εἶτα δ' ἐστὶν ἐκ θαλάσσης θύννος οὐ κακὸν βρῶμα,
ἀλλὰ πᾶσιν ἰχθύεσσιν ἐμπρεπὴς ἐν μυττωτῷ.

ς δὲ πιανθείς, δοκέω μέν, καὶ μεσέων νυκτῶν ἡδύς
ἔρης.

V.

DIPHILUS.

1.

ιέψας δὲ πώλους ὡς ὁ Μαντινεὺς Σῆμος,
τρῶτος ἅρματ' ἤλασεν παρ' Ἀλφειῷ.

VI.

HERMIPPUS.

ΤΡΙΜΕΤΡΑ.

2.

; λευκερίνεως δὲ χωρὶς ἰσχάδας.

ΤΕΤΡΑΜΕΤΡΑ.

4.

τὸ Κυλικράνων βαδίζων σπληνόπεδον ἀφικόμην·
ον οὖν τὴν Ἡράκλειαν καὶ μάλ' ὡραίαν πόλιν.

5.

τερον δ' αὐτὸν στρατηγὸν οὓς ἀνειλωτημένην
κασαλβάζουσαν εἶδον καὶ σεσαλακωνισμένην.

VII.

SCYTHINUS.

ΙΑΜΒΟΙ.

1.

Τὴν λύρην ἁρμόζεται
Ζηνὸς εὐειδὴς Ἀπόλλων, πᾶσαν ἀρχὴν καὶ τέλος
συλλαβών, ἔχει δὲ λαμπρὸν πλῆκτρον ἡλίου φάος.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

2.

Ἦλθέν μοι μέγα πῆμα, μέγας πόλεμος, μέγα μοι πῦρ,
Ἰλισσὸς πλήρης τῶν ἐς ἔρωτ' ἐτέων,
αὐτὰ τὰ καίρι' ἔχων ἑκκαίδεκα, καὶ μετὰ τούτων
πάσας καὶ μικρὰς καὶ μεγάλας χάριτας,
καὶ πρὸς ἀναγνῶναι, φωνὴν μέλι, καὶ τὸ φιλῆσαι
χείλεα, καὶ τὸ λαβεῖν ἔνδον, ἀμεμπτότατον.
καὶ τί πάθω; φασὶν γὰρ ὁρᾶν μόνον· ἦρ' ἀγρυπνήσω
πολλάκι, τῇ κενεῇ Κύπριδι χειρομαχῶν;

3.

Ὀρθὸν νῦν ἕστηκας ἀνώνυμον, οὐδὲ μαραίνῃ,
ἐντέτασαι δ' ὡς ἂν μήποτε παυσόμενον.
ἀλλ' ὅτε μοι Νεμεσηνὸς ὅλον παρέκλινεν ἑαυτὸν
πάντα διδοὺς ἃ θέλω, νεκρὸν ἀπεκρέμασο.
τείνεο καὶ ῥήσσου καὶ δάκρυε, πάντα ματαίως·
οὐχ ἕξεις ἔλεον χειρὸς ἀφ' ἡμετέρης.



VIII.

HERODAS.

ΜΙΜΙΑΜΒΟΙ.

1.

ΜΟΛΠΙΝΟΣ.

ἢν τὸν ἑξηκοστὸν ἥλιον κάμψῃς,
ῥύλλε, Γρύλλε, θνῆσκε καὶ τέφρη γίνευ·
τυφλὸς οὐπέκεινα τοῦ βίου καμπτήρ·
γὰρ αὐγὴ τῆς ζόης ἀπήμβλυνται.

2.

ΣΥΝΕΡΓΑΖΟΜΕΝΑΙ.

ισφὺς ὅκως τις χοιράδων ἀναρίτης.

3.

ιαλκέην μοι μυῖαν ἢ κύθρην παίζει,
ῆσι μηλάνθησιν ἅμματ' ἐξάπτων
κεσκίου μοι τὸν γέροντα λωβῆται.

4.

δὴ κόρη τὺ τὴν χολὴν ἐπὶ ῥινὸς
εὐθύς, ἤν τι ῥῆμα μὴ σοφὸν πεύθῃ·
αικός ἐστι κρηγύης φέρειν πάντα.

5.

οἰκίην οὐκ ἔστιν εὐμαρέως εὑρεῖν
ν κακῶν ζώουσαν· ὃς δ' ἔχει μεῖον,
όν τι μεῖζον τοὐτέρου δόκει πρήσσειν.

6.

ὁ δ' ἀδραίνω γυιὸς ὤν· τὸ γὰρ γῆρας
ις καθέλκει, κἢν σκιῇ παραστήκῃ.

7.

Γύναι, τὰ λευκὰ τῶν τριχῶν ἀπαμβλύνει
τὸν νοῦν.

ΗΜΙΑΜΒΟΙ.

10.

ΥΠΝΟΣ.

Φεύγωμεν ἐκ προσώπου
μή σ' ἐκπερῶν ὁ πρέσβυς
οὐλῇ κατιϑὺ . .
βατηρίῃ καλύψῃ.

IX.

CERCIDAS.

ΙΑΜΒΟΙ.

1.

Ἦν καλλιπύγων ζεῦγος ἐν Συρακούσαις.

ΜΕΛΙΑΜΒΟΙ.

2.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – ⏑ –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

Οὐ μὰν ὁ πάρος γα Σινωπεύς

τῆνος ὁ βακτροφόρας, διπλοείματος, αἰθεριβόσκας,
ἀλλ' ἀνέβα χῆλος ποτ' ὀδόντας ἐρείσας,
καὶ τὸ πνεῦμα συνδακών·
ἦς γὰρ ἀλαθέως
Διογενὴς Ζανὸς γόνος οὐράνιός τε κύων.

3.

. . . ⏑ – – –́ ⏑ – ⏒
– –́ ⏑ ⏓ – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏒

Ὁ τᾶς ῥικνᾶς χελώνας
ἐμναμόνευ'. οἶκος γὰρ ἄριστος ἀλαθέως καὶ φίλος.

4.

–́ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ ⏒

[Νοῦς ὁρῇ καὶ νοῦς ἀκούει·]
πῶς κεν ἴδοιεν τὰν σοφίαν πέλας ἑστακυῖαν
ἀνέρες, ὧν τὸ κέαρ παλῷ σέσακται
καὶ δυσεκνίπτῳ τρυγί;

5.

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
Ἐν κριομύξοις ἀνδράσιν εὐδοκιμήσει.

X.

AESCHRIO.

ΙΑΜΒΟΙ.

1.

Μήνη τὸ καλὸν οὐρανοῦ νέον σίγμα.

* 2.

Στενὸν καθ' Ἑλλήσποντον, ἐμπόρων χώρην,
ναῦται θαλάσσης ἐστρέφοντο μύρμηκες.

* 3.

Ὁ δ' ἐξελὼν ἱμάντα φορτίου ζώνην.

* 4.

Ἶρις δ' ἔλαμψε, καλὸν οὐρανοῦ τόξον.

* 5.

Καὶ πίσσαν ἑφθήν, ᾗ θύραι μυρίζονται.

ΤΕΤΡΑΜΕΤΡΑ.

6.

Καὶ θεῶν ἄγρωστιν εὗρες, ἣν Κρόνος κατέσπειρεν

ΕΠΙΓΡΑΜΜΑΤΑ.

8.

Ἐγὼ Φιλαινὶς ἡ 'πίβωτος ἀνθρώποις
ἐνταῦθα γήρᾳ τῷ κακῷ κεκοίμημαι·
μή μ', ὦ μάταιε ναῦτα, τὴν ἄκραν κάμπτων
χλεύην τε ποιεῦ καὶ γέλωτα καὶ λάσθην·
οὐ γὰρ μὰ τὸν Ζῆν', οὐ μὰ τοὺς κάτω κούρους
οὐκ ἦν ἐς ἄνδρας μάχλος οὐδὲ δημώδης·
Πολυκράτης δέ, τὴν γονὴν Ἀθηναῖος,
λόγων τι παιπάλημα καὶ κακὴ γλῶσσα,
ἔγραψεν ἅσσ' ἔγραψ'· ἐγὼ γὰρ οὐκ οἶδα.

ΕΦΗΜΕΡΙΔΕΣ.

9.

Σὺν δ' ἐχύθη ψυχήν, πουλὺς τέ μιν ἔσχ' ὀρυμαγδ



XI.

PHOENIX.

1.

λοὶ κορώνῃ χεῖρα πρόσδοτε κριθέων
ἶὶ τἀπόλλωνος ἢ λέκος πυρῶν
ον ἤτ' ἤμαιθον ἢ ὅ τί τις χρῄζει.
'γαθοί τι τῶν ἕκαστος ἐν χερσίν
ͻώνῃ· χἅλα λήψεται χόνδρον·
ἀρ αὕτη πάγχυ ταῦτα δαίνυσθαι·
ίλας δοὺς αὖθι κηρίον δώσει.
ιῖ θύρην ἅγκλινε· πλοῦτος ἔκρουσεν·
κορώνῃ παρθένος φέροι σῦκα.
ένοιτο πάντ' ἄμεμπτος ἡ κούρη,
ὸν ἄνδρα κὠνομαστὸν ἐξεύροι·
γέροντι πατρὶ κοῦρον εἰς χεῖρας,
ρὶ κούρην εἰς τὰ γοῦνα κατθείη,
ρέφειν γυναῖκα τοῖς κασιγνήτοις.
ὅκου πόδες φέρωσιν ὀφθαλμούς
ιαι μούσαισι πρὸς θύραις ᾄδων
τι καὶ μὴ δόντι πλείονα τῶν γ' ἐῶ.

* * *

ῶ 'γαθοὶ 'πορέξαθ' ὧν μυχὸς πλουτεῖ.
ἄναξ δὸς καὶ σὺ πότνα μοι νύμφη·
ορώνῃ χεῖρα δοῦν ἐπαιτούσῃ.
ἀείδω· δός τι καὶ καταχρήσει.

2.

Ϳίνος τις ἐγένετ', ὡς ἐγὼ κλύω,
ος, ὅστις εἶχε χρυσίου πόντον
λα πολλῷ πλέονα Κασπίης ψάμμου·

ὃς οὐκ ἴδ' ἀστέρ' οὐδ' ἰδὼν ἐδίζητο,
οὐ παρὰ μάγοισι πῦρ ἱερὸν ἀνέστησεν,
ὥσπερ νόμος, ῥάβδοισι τοῦ θεοῦ ψαύων·
οὐ μυθιήτης, οὐ δικασπόλος κεῖνος,
οὐ λεωλογεῖν ἐμάνθαν', οὐκ ἀμιθρῆσαι·
ἀλλ' ἦν ἄριστος ἐσθίειν τε καὶ πίνειν
κἠρᾶν, τὰ δ' ἄλλα πάντα κατὰ πετρῶν ὤθει.
ὡς δ' ἀπέθαν' ὡνὴρ πᾶσι κατέλιπεν ῥῆσιν,
ὅκου Νίνος νῦν ἐστι καὶ τὸ σῆμ' ᾄδει·
ἄκουσον εἴτ' Ἀσσύριος εἴτε καὶ Μῆδος
εἶς ἢ Κοραξὸς ἢ 'πὸ τῶν ἄνω λιμνῶν
Σινδὸς κομητής· οὐ γὰρ ἀλλὰ κηρύσσω·
ἐγὼ Νίνος πάλαι ποκ' ἐγενόμην πνεῦμα,
νῦν δ' οὐκ ἔτ' οὐδέν, ἀλλὰ γῆ πεποίημαι·
ἔχω δ' ὁκόσον ἔδαισα χὠκόσ' ἤεισα
χὠκόσσ' ἐράσθην. * * * *
τὰ δ' ὄλβι' ἡμέων δήϊοι συνελθόντες
φέρουσιν ὥσπερ ὠμὸν ἔριφον αἱ Βάκχαι.
ἐγὼ δ' ἐς ἀΐδην οὔτε χρυσὸν οὔθ' ἵππον
οὔτ' ἀργυρῆν ἄμαξαν ᾠχόμην ἕλκων·
σποδὸς δὲ πελλὴ χὠ μιτρηφόρος κεῖμαι.

3.

Νίνου κάδοι μάχαιρα καὶ κύλιξ αἰχμή,
κόμη δὲ τόξα, δήϊοι δὲ κρητῆρες,
ἵπποι δ' ἄκρητος, κάλαλή· μύρον χεῖτε.

4.

Θαλῆς γάρ, ὅστις ἱστόρων ὀνήϊστος
καὶ τῶν τότ' ὡς λέγουσι πολλὸν ἀνθρώπων
ἔην ἄριστος, ἔλαβε πελλίδα χρυσῆν.

5.

Ἐκ πελλίδος γὰρ τάργανον κατηγυίης
χωλοῖσι δακτύλοισι τῆτέρῃ σπένδει,
τρέμων οἷόν περ ἐν βορηίῳ νωδός.

XII.

APOLLONIUS RHODIUS.

ΚΑΝΩΠΟΣ.

1.

Κορινθιουργές ἐστι κιόνων σχῆμα.

2.

Τέρψει δὲ νηῶν ὁ γλυκύς σε χωρίτης
πλόος κομίζων δῶρα πλουσίου Νείλου.

XIII.

CHARINUS.

Ἔρροις πλανῆτι καὶ κακὴ πέτρη Λευκάς,
Χαρῖνον, αἰαῖ, τὴν ἰαμβικὴν Μοῦσαν
κατηθάλωσας ἐλπίδος κενοῖς μύθοις·
τοιαῦτ' Ἔρωτος Εὐπάτωρ ἐρασθείη.

XIV.

PARMENO.

1.

Ἀνὴρ γὰρ ἕλκων οἶνον ὡς ὕδωρ ἵππος
σκυθιστὶ φωνεῖ, κοὐδὲ κόππα γιγνώσκων
. . . .
κεῖται δ' ἄναυδος ἐν πίθῳ κολυμβήσας
κάθυπνος, ὡς μήκωνα φάρμακον πίνων.

2.

Ἦλθον μακρὴν θάλασσαν, οὐκ ἄγων σῦκα
Καναῖα φόρτον.

XV.

HERMIAS.

Ἀκούσατ', ὦ στώακες, ἔμποροι λήρου,
λόγων ὑποκριτῆρες, οἳ μόνοι πάντα
τὰν τοῖς πίναξι, πρίν τι τῷ σοφῷ δοῦναι,
αὐτοὶ καταρροφεῖτε, κᾆθ' ἁλίσκεσθε
ἐναντία πράσσοντες, οἷς τραγῳδεῖτε.

XVI.

B A B R I U S.

᾿ABULARUM SYLLOGE PRIOR.

ΜΥΘΙΑΜΒΟΙ ΑΙΣΩΠΕΙΟΙ

ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

Στίχοι χωλιαμβικοί.

ΠΡΟΟΙΜΙΟΝ.

:αίων ἦν τὸ πρῶτον ἀνθρώπων,
τέκνον, ἣν καλοῦσι χρυσείην.
* * * * * *
ἐπ᾽ αὐτῶν τις ἐγενήθη χαλκείη,
'ενέσθαι φασὶ θείαν ἡρώων·
σιδηρᾶ ῥίζα καὶ γένος χεῖρον.
ὲ χρυσῆς καὶ τὰ λοιπὰ τῶν ζῴων
αρθρον εἶχε καὶ λόγους ᾔδει·
τούτων ἦσαν ἐν μέσαις ὕλαις.
πέτρα καὶ τὰ φύλλα τῆς πεύκης·
πόντος, Βράγχε, νηῒ καὶ ναύτῃ·
δὲ συνετὰ πρὸς γεωργὸν ὡμίλουν·
γῆς πάντα μηδὲν αἰτούσης·
᾽ ὑπῆρχε καὶ θεῶν ἑταιρείη.
ἂν οὕτω ταῦτ᾽ ἔχοντα καὶ γνοίης
φοῦ γέροντος ἡμιν Αἰσώπου
ράσαντος τῆς ἐλευθέρας μούσης.
ιαστον ἵνα τιθῇς ἐνὶ μνήμῃ,
'ς σοι, λῷστε, κηρίον δώσω,
ίμβων σκληρὰ κῶλα θηλύνας.

ΑΡΧΗ ΤΟΥ Α.

•1.

(*ΤΟΞΟΤΗΣ ΚΑΙ ΛΕΩΝ.*)

Ἄνθρωπος ἦλθεν εἰς ὄρος κυνηγήσων,
τόξου βολῆς ἔμπειρος· ἦν δὲ τῶν ζῴων
φυγῆς τε πάντων καὶ φόβου δρυμὸς πλήρης.
λέων δὲ τοῦτον προὐκαλεῖτο θαρσήσας
αὐτῷ μάχεσθαι. „Μεῖνον,“ εἶπε, „μὴ σπεῦδε“
ἄνθρωπος αὐτῷ, „μηδ' ἐπελπίσῃς νίκῃ·
„τῷ δ' ἀγγέλῳ μου πρῶτον ἐντυχών, γνώσῃ,
„τί σοι ποιητόν ἐστιν.“ εἶτα τοξεύει,
μικρὸν διαστάς. χὠ μὲν οἰστὸς ἐκρύφθη
λέοντος ὑγραῖς χολάσιν· ὁ δὲ λέων δείσας
ὥρμησε φεύγειν ἐς νάπας ἐρημαίας.
τούτου δ' ἀλώπηξ οὐκ ἄπωθεν εἱστήκει.
ταύτης δὲ θαρσεῖν καὶ μένειν κελευούσης,
„Οὔ με πλανήσεις,“ φησίν, „οὐδ' ἐνεδρεύσεις·
„ὅπου γὰρ οὕτω πικρὸν ἄγγελον πέμπει,
„πῶς αὐτὸς ἤδη φοβερός ἐστι γινώσκω.“

Ὅτι δεῖ ἐκ τῶν προσφερομένων γινώσκειν τὴν ἑκάστου θεσιν· [καὶ τί ἡ σοφία τῆς δυνάμεως διαφέρει.]

2.

(*ΓΕΩΡΓΟΣ ΔΙΚΕΛΛΑΝ ΑΠΟΛΕΣΑΣ.*)

Ἀνὴρ γεωργὸς ἀμπελῶνα ταφρεύων
καὶ τὴν δίκελλαν ἀπολέσας ἐπεζήτει,
μή τις παρόντων τήνδ' ἔκλεψεν ἀγροίκων.
ἠρνεῖθ' ἕκαστος. οὐκ ἔχων δ' ὃ ποιήσει,
εἰς τὴν πόλιν κατῆγε πάντας ὁρκώσων·
τῶν γὰρ θεῶν δοκοῦσι τοὺς μὲν εὐήθεις
ἀγροὺς κατοικεῖν, τοὺς δ' ἐσωτέρω τείχους



ἀληθεῖς καὶ τὰ πάντ' ἐποπτεύειν.
ἰσιόντες τὰς πύλας ἐπὶ κρήνης
δας ἔνιζον κἀπέθεντο τὰς πήρας,
φώνει χιλίας ἀριθμήσειν
κ σύλων, ὧν ὁ θεὸς ἐσυλήθη.
ῦτ' ἀκούσας εἶπεν· „Ὡς μάτην ἥκω.
ις γὰρ ἄλλους πῶς ὁ θεὸς ἂν εἰδείη,
ς ἑαυτοῦ φῶρας οὐχὶ γινώσκει,
δὲ μισθοῦ μή τις οἶδεν ἀνθρώπων;"

χρὴ ἀπιστεῖν τοῖς ὑπισχνουμένοις, ὧν οὐκ εἰσεῖδες

3.

(ΑΙΠΟΛΟΣ ΚΑΙ ΑΙΞ.)

ποτ' εἰς ἔπαυλιν αἰπόλος κλείσων
ὸν ἄγειν θ', ὡς αἱ μὲν ἦλθον, αἱ δ' οὔπω,
ειθοῦς ἐν φάραγγι τρωγούσης
λυκεῖαν αἰγίλου τε καὶ σχίνου,
; κατέαξε μακρόθεν λίθῳ πλήξας.
κέτευε· „Μή, χίμαιρα συνδούλη,
οῦ σε Πανός, ὃς νάπας ἐποπτεύει,
πότη, χίμαιρα, μή με μηνύσῃς·
ἀρ ηὐστόχησα τὸν λίθον ῥίψας."
ε· „Καὶ πῶς ἔργον ἐκφανὲς κρύψω;
ας κέκραγε, κἂν ἐγὼ σιωπήσω."

τὰ δημοσίᾳ ἁμαρτηθέντα κατ' οὐδένα τρόπον χρὴ

4.

(ΑΛΙΕΥΣ ΚΑΙ ΙΧΘΥΣ.)

σαγήνην, ἣν νεωστὶ βεβλήκει,
· ὄψου δ' ἔτυχε ποικίλου πλήρης.
ἰχθύων ὁ λεπτὸς εἰς βυθὸν φεύγων

ὑπεξέδυνε δικτύου πολυτρήτου.
ὁ μέγας δ' ἀγρευθεὶς εἰς τὸ πλοῖον ἡπλώθη.
Σωτηρία πως ἐστὶ καὶ κακῶν ἔξω
τὸ μικρὸν εἶναι· τὸν μέγαν δὲ τῇ δόξῃ
σπανίως ἴδοις ἂν ἐκφυγόντα κινδύνων.

5.

(*ΑΛΕΚΤΟΡΙΣΚΟΙ.*)

Ἀλεκτορίσκων ἦν μάχη Ταναγραίων,
οἷς θυμὸν εἶναί φασιν οἷον ἀνθρώποις.
τούτων ὁ λειφθείς, τραυμάτων γὰρ ἦν πλήρης,
ἔκρυπτ' ἐς οἴκου γωνίην ὑπ' αἰσχύνης.
ὁ δ' ἄλλος εὐθὺς εἰς τὸ δῶμα πηδήσας
ἐπικροτῶν τε τοῖς πτεροῖς ἐκεκράγει.
καὶ τὸν μὲν ἀετός τις ἐκ στέγους ἄρας
ἀπῆλθ'· ὁ δ' ἀδεῶς ἐπανέβαινε θηλείαις,
ἀμείνονα σχὼν τἀπίχειρα τῆς ἥττης.
Ἄνθρωπε, καὶ σὺ μή ποτ' ἴσθι καυχήμων,
ἄλλου πλέον σε τῆς τύχης ἐπαιρούσης·
πολλοὺς ἔσωσε καὶ τὸ μὴ καλῶς πράττειν.

6.

(*ΑΛΙΕΥΣ ΚΑΙ ΙΧΘΥΔΙΟΝ.*)

Ἁλιεὺς θαλάσσης πᾶσαν ἠόνα ξύων
λεπτῷ τε καλάμῳ τὸν γλυκὺν βίον σώζων
μικρόν ποτ' ἰχθὺν ὁρμιῆς ἀφ' ἱππείης
ἤγρευσεν ἐκ τῶν εἰς τάγηνον ὡραίων.
ὁ δ' αὐτὸν οὕτως ἱκέτευεν ἀσπαίρων·
„Τί σοι τὸ κέρδος; ἢ πόσου με πωλήσεις;
„οὐκ εἰμὶ γὰρ τέλειος· ἀλλά με πρώην
„πρὸς τῇδε πέτρῃ φυκὶς ἔπτυσεν μήτηρ.
„νῦν οὖν ἄφες με· μὴ μάτην μ' ἀποκτείνῃς.



'ὲ πλησθεὶς φυκίων θαλασσαίων
γένωμαι, πλουσίοις πρέπων δείπνοις,
ιθάδ' ἐλθὼν ὕστερόν με συλλήψῃ."
μύζων ἱκέτευε κἀσπαίρων·
ι ἔμελλε τὸν γέροντα θωπεύσειν.
πείρων αὐτὸν ὀξείῃ σχοίνῳ·
:ὰ μικρά, πλὴν βέβαια, τηρήσας
ς ἐστιν, ἂν ἄδηλα θηρεύῃ.

7.

(ΙΠΠΟΣ ΚΑΙ ΟΝΟΣ.)

:ος ἵππον εἶχε· τοῦτον εἰώθει
αρέλκειν, ἐπετίθει δὲ τὸν φόρτον
οντι. πολλὰ τοιγαροῦν κάμνων
ἐλθὼν πρὸς τὸν ἵππον ὡμίλει·
ι θελήσῃς συλλαβεῖν τι τοῦ φόρτου,
ν γενοίμην σῶος· εἰ δὲ μή, θνήσκω."
'ὐ προάξεις;" εἶπε, „μηδ' ἐνοχλήσῃς."
ιωπῶν· τῷ κόπῳ δ' ἀπαυδήσας
'κειτο νεκρός, ὡς προειρήκει.
ον οὖν παρ' αὐτὸν εὐθέως στήσας
της καὶ πάντα τὸν γόμον λύων
ὸν ἐτίθει, τὴν σάγην τε τοῦ κτήνους
ὀνείην προσεπέθηκεν ἐκδείρας.
:ος „Οἴμοι τῆς κακῆς" ἔφη „γνώμης·
ι μετασχεῖν μικρὸν οὐκ ἐβουλήθην,
χὐτό μοι πᾶν ἐπιτέθεικεν ἡ χρεία."

8.

(ΑΡΑΨ ΚΑΙ ΚΑΜΗΛΟΣ.)

άμηλον ἀχθίσας ἐπηρώτα,
ἀναβαίνειν μᾶλλον ἢ κάτω βαίνειν

αἱροῖτο. χὠ κάμηλος, οὐκ ἄτερ μούσης,
εἶφ'· „Ἡ γὰρ ὀρθὴ τῶν ὁδῶν ἀπεκλείσθη;“

Ὁ λόγος εὔθετος πρὸς ἄνδρας [διεστραμμένους] τῆς εὐθείας [καὶ] ὁδοῦ ἐκκλίνοντας.

9.

(*ΑΛΙΕΥΣ ΑΥΛΩΝ.*)

Ἁλιεύς τις αὐλοὺς εἶχε καὶ σοφῶς ηὔλει.
καὶ δή ποτ' ὄψον ἐλπίσας ἀμοχθήτως
πολὺ πρὸς αὐλῶν ἡδυφωνίην ἥξειν,
τὸ δίκτυον θεὶς ἐτερέτιζεν εὐμούσως.
ἐπεὶ δὲ φυσῶν ἔκαμε καὶ μάτην ηὔλει,
βαλὼν σαγήνην ἔλαβεν ἰχθύας πλείστους.
ἐπὶ γῆς δ' ἰδὼν σπαίροντας ἄλλον ἀλλοίως,
τοιαῦτ' ἐκερτόμησε, τὸν βόλον πλύνων·
„Ἄναυλα νῦν ὀρχεῖσθε· κρεῖσσον ἦν ὑμᾶς
„πάλαι χορεύειν, ἡνίκ' εἰς χοροὺς ηὔλουν.“
[Οὐκ ἔστιν ἀπόνως οὐδ' ἀλύοντα κερδαίνειν·
ὅταν βαλὼν δὲ τοῦθ' ἕλῃς ὅπερ βούλει,
τότε κερτομεῖν σοι καιρός ἐστι καὶ παίζειν.

Ὁ μῦθος λέλεκται πρὸς τοὺς [ματαίως] παρὰ τὸ δέον ἐργαζομένους.

10.

(*ΔΟΥΛΗ ΚΑΙ ΑΦΡΟΔΙΤΗ.*)

Αἰσχρᾶς τις ἤρα καὶ κακορρύπου δούλης
ἰδίας ἑαυτοῦ, καὶ παρεῖχεν αἰτούσῃ
ἅπανθ' ἑτοίμως. ἡ δέ, χρυσίου πλήρης,
σύρουσα λεπτὴν πορφύραν ἐπὶ κνήμης,
πᾶσαν μάχην συνῆπτεν οἰκοδεσποίνῃ.
τὴν δ' Ἀφροδίτην, ὥσπερ αἰτίην τούτων,
λύχνοις ἐτίμα καὶ καθ' ἡμέραν πᾶσαν
ἔθυεν, ηὔχεθ', ἱκέτευεν, ἠρώτα,

; πότ' αὐτῶν ἡ θεὸς καθευδόντων
θεν καθ' ὕπνους καὶ φανεῖσα τῇ δούλῃ
1ή μοι χάριν σχῇς ὡς καλήν σε ποιούσῃ·
ούτῳ κεχόλωμαι" φησίν, „ᾧ καλὴ φαίνῃ."
Ἅπας ὁ τοῖς αἰσχροῖσιν ὡς καλοῖς χαίρων
οβλαβής τίς ἐστι καὶ φρένας πηρός.

11.

(ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

.ώπεκ' ἐχθρὰν ἀμπέλων τε καὶ κήπων
'η θελήσας περιβαλεῖν τις αἰκίῃ,
ι κέρκον ἅψας καὶ λίνον τι προσδήσας,
ῆκε φεύγειν. τὴν δ' ἐπίσκοπος δαίμων
τὰς ἀρούρας τοῦ λαβόντος ὡδήγει
πῦρ φέρουσαν. ἦν δὲ ληΐων ὥρη
καλλίπαις ἄμητος ἐλπίδων πλήρης.
' ἠκολούθει τὸν πολὺν κόπον κλαίων·
ι' εἶδεν αὐτοῦ τὴν ἅλωνα Δημήτηρ.
Χρὴ πρᾶον εἶναι μηδ' ἄμετρα θυμοῦσθαι.
ιν τις ὀργῆς νέμεσις, ἣν φυλαττοίμην,
οῖς βλάβην φέρουσα τοῖς δυσοργήτοις.

12.

(ΑΗΔΩΝ ΚΑΙ ΧΕΛΙΔΩΝ.)

ροῦ χελιδὼν μακρὸν ἐξεπωτήθη,
εν δ' ἐρήμοις ἐγκαθημένην ὕλαις
όν' ὀξύφωνον· ἡ δ' ἀπεθρήνει
Ἴτυν ἄωρον ἐκπεσόντα τῆς ὥρης.
τοῦ μέλους δ' ἔγνωσαν αἱ δύ' ἀλλήλας·
δὴ προσέπτησάν τε καὶ προσωμίλουν.
μὲν χελιδὼν εἶπε· „Φιλτάτη ζώεις;
ρῶτον βλέπω σε σήμερον μετὰ Θρᾴκην.

„ἀεί τις ἡμᾶς πικρὸς ἔσχισεν δαίμων·
„καὶ παρθένοι γὰρ χωρὶς ἦμεν ἀλλήλων.
„ἀλλ' ἐλθ' ἐς ἀγρὸν καὶ πρὸς οἶκον ἀνθρώπων·
„σύσκηνος ἡμῖν καὶ φίλη κατοικήσεις,
„ὅπου γεωργοῖς κοὐχὶ θηρίοις ᾄσεις."
[„ὕπαιθρον ὕλην λεῖπε καὶ παρ' ἀνθρώποις
„ὁμώροφόν μοι δῶμα καὶ στέγην οἴκει.]
„τί σε δροσίζει νυκτὸς ἔννυχος στίβη
„καὶ καῦμα θάλπει; πάντα δ' ἀγρώτην τήκει·
[„ἄγε δὴ σεαυτὴν σοφὰ λαλοῦσα μήνυσον."]
τὴν δ' αὖτ' ἀηδὼν ὀξύφωνος ἠμείφθη·
„Ἔα με πέτραις ἐμμένειν ἀοικήτοις·
„καὶ μή μ' ὀρεινῆς ὀργάδος σὺ χωρίσσῃς.
„μετὰ τὰς Ἀθήνας ἄνδρα καὶ πόλιν φεύγω·
„οἶκος δέ μοι πᾶς κἀπίμιξις ἀνθρώπων
„λύπην παλαιῶν συμφορῶν ἀναξαίνει."
Παραμυθία τίς ἐστι τῆς κακῆς μοίρης
λόγος σοφὸς καὶ μοῦσα καὶ φυγὴ πλήθους·
λύπη δ', ὅταν τις (οἷσιν) εὐθενῶν ὤφθη,
τούτοις ταπεινὸς αὖθις ὢν συνοικήσῃ.

Ὅτι συμφέρει τῷ ἠδικημένῳ πόρρω γενέσθαι τῶν εἰς ἀνάμνησιν αὐτὸν φερόντων κακῶν.

13.

(ΓΕΩΡΓΟΣ ΚΑΙ ΠΕΛΑΡΓΟΣ.)

Αὔλαξι λεπτὰς παγίδας ἀγρότης πήξας
γεράνους σποραίων πολεμίας συνειλήφει.
τοῦτον πελαργὸς ἱκέτευε χωλεύων·
ὁμοῦ γὰρ αὐταῖς καὶ πελαργὸς ἡλώκει·
„Οὐκ εἰμὶ γέρανος· οὐ σπόρον καταφθείρω.
„πελαργός εἰμι (χὴ χρόη με σημαίνει),
„πτηνῶν πελαργὸς εὐσεβέστατον ζῴων·

ιὸν τιθηνῶ πατέρα καὶ νοσηλεύω.“
)ς „Ὦ πελαργέ, τίνι βίῳ χαίρεις
ἴδα,“ φησίν, „ἀλλὰ τοῦτο γινώσκω·
ν σε σὺν ταῖς ἔργα τἀμὰ πορθούσαις.
ῇ μετ᾽ αὐτῶν τοιγαροῦν, μεθ᾽ ὧν ἥλως.“
κοῖς ὁμιλῶν ὡς ἐκεῖνοι μισήσῃ,
δὲν αὐτὸς τοὺς πέλας καταβλάψῃς.]

όγος διδάσκει φεύγειν ἡμᾶς τὰς τῶν πονηρῶν ἀνθρώ-
νωνίας, ἵνα μὴ τῇ αὐτῶν κακίᾳ συναπολώμεθα.

14.

(ΑΡΚΤΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

: φιλεῖν ἄνθρωπον ἐκτόπως ηὔχει·
γὰρ αὐτοῦ σῶμ᾽ ἔφασκε μὴ σύρειν.
ν ἀλώπηξ εἶπε· „Μᾶλλον ᾑρούμην,
:ρὸν εἷλκες, τοῦ δὲ ζῶντος οὐχ ἥπτου.“
ῶντα βλάπτων μὴ νεκρόν με θρηνείτω.

15.

(ΑΘΗΝΑΙΟΣ ΑΝΗΡ ΚΑΙ ΘΗΒΑΙΟΣ.)

Ἀθηναῖός τις ἀνδρὶ Θηβαίῳ
ὁδεύων, ὥσπερ εἰκὸς ὡμίλει.
᾽ ὁ μῦθος ἦλθε μέχρις ἡρώων,
μὲν ἄλλως ῥῆσις οὐδ᾽ ἀναγκαίη.
ι᾽ ὁ μὲν Θηβαῖος υἱὸν Ἀλκμήνης
)ν ἀνδρῶν, νῦν δὲ καὶ θεῶν ὕμνει·
Ἀθηνῶν ἔλεγεν, ὡς πολὺ κρείσσων
: γένοιτο, καὶ τύχης ὁ μὲν θείης
λέλογχεν, Ἡρακλῆς δὲ δουλείης.
δ᾽ ἐνίκα· στωμύλος γὰρ ἦν ῥήτωρ·
λλος, ὡς Βοιωτός, οὐκ ἔχων ἴσην
ἅμιλλαν, εἶπεν ἀγρίῃ μούσῃ·

„Πέπαυσο· νικᾷς. τοιγαροῦν χολωθείη
„Θησεὺς μὲν ἡμῖν, Ἡρακλῆς δ' Ἀθηναίοις."

Ὅτι οὐ δεῖ τοὺς μεγιστᾶνας κινεῖν εἰς ὀργὴν κατὰ τ ὑπεξουσίων. — Εἰς ματαιολογίας καὶ ἔριδας.

16.

(ΛΥΚΟΣ ΚΑΙ ΓΡΑΥΣ.)

Ἄγροικος ἠπείλησε νηπίῳ τίτθη
κλαίοντι· „Παῦσαι, μή σε τῷ λύκῳ ῥίψω."
ὁ λύκος δ' ἀκούσας τήν τε γραῦν ἀληθεύειν
νομίσας ἔμεινεν, ὡς ἕτοιμα δειπνήσων,
ἕως ὁ παῖς μὲν ἑσπέρης ἐκοιμήθη,
αὐτὸς δὲ πεινῶν καὶ λύκος χανὼν ὄντως
ἀπῆλθε νωθραῖς ἐλπίσιν παρεδρεύσας.
λύκαινα δ' αὐτὸν ἡ σύνοικος ἠρώτα·
„Πῶς οὐδὲν ἄρας ἦλθες, ὡς πρὶν εἰώθεις;"
ὁ δ' εἶπε· „Πῶς γάρ, ὃς γυναικὶ πιστεύω;"

Διδάσκει ἡμᾶς ὁ μῦθος ὅτι οὐ χρὴ πᾶσι πιστεύειν, ναικὶ δὲ μάλιστα, μεγάλα καὶ πάμπολλα ἐπαγγελλομένῃ. Πρὸς τὸν κεναῖς ἀπάταις ἐξαπατηθέντα.

17.

(ΑΙΛΟΥΡΟΣ ΚΑΙ ΑΛΕΚΤΡΥΩΝ.)

Αἴλουρος ὄρνεις οἰκίης ἐνεδρεύων
ὡς θύλακός τις πασσάλων ἀπηρτήθη·
τὸν δ' εἶδ' ἀλέκτωρ πινυτὸς ἀγκυλογλώχιν,
καὶ ταῦτ' ἐκερτόμησεν ὀξὺ φωνήσας·
„Πολλοὺς μὲν οἶδα θυλάκους ἰδὼν ἤδη·
„οὐδεὶς δ' ὀδόντας εἶχε ζῶντος αἰλούρου."

Πρὸς τοὺς ἀπὸ πείρας γνωρισθέντας κακούργους, καὶ κέτι ταῖς τούτων ὑποκρίσεσί τινα ἐξαπατᾶσθαι.



γε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχ

ΑΡΧΗ ΤΟΥ Β.

18.

(ΒΟΡΕΑΣ ΚΑΙ ΗΛΙΟΣ.)

ουσιν Ἡλίῳ τε τοιαύτην
ϑαι· πότερος ἀνδρὸς ἀγροίκου
ντος τὴν σίσυρναν ἐκδύσει.
ἐφύσα πρῶτος οἷος ἐκ Θράκης,
ον τὸν φοροῦντα συλήσειν.
ϑῆκε μαλλόν, ἀλλὰ ῥιγώσας
πέτρης νῶτον ἐξοχῇ κλίνας
κύκλῳ χερσὶ κράσπεδα σφίγξας.
ς τὸ πρῶτον ἡδὺς ἐκκύψας
τὸν τοῦ δυσηνέμου ψύχους·
αὖ προσῆγε τὴν ἀλέην πλείω,
τὸν γεωργὸν εἶχεν ἐξαίφνης·
ίψας τὴν σισύραν ἐγυμνώϑη.
ν οὕτω συγκριϑεὶς ἐνικήϑη.
' ὁ μῦϑος· πρᾳότητα, παῖ, ζήλου·
πειϑοῖ μᾶλλον ἢ βίᾳ ῥέξων.

παραινῶν, ὅτι οὐ χρὴ φιλόνεικον εἶναι, ἀλλὰ
ιὶ πειϑοῖ ἀνύειν τὰ ἀνήκοντα.

19.

(ΒΟΤΡΥΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

λαίνης ἀμπέλου παρ' αἰώρῃ
το· τοὺς δὲ ποικίλη πλήρεις
ρδῶ πολλάκις μὲν ὡρμήϑη
οσσὶν πορφυρῆς ϑιγεῖν ὥρης·
πειρος κεὶς τρύγητον ἀκμαία.
δ' ἄλλως (οὐ γὰρ ἴσχυε ψαύειν)
ἐφικνεῖτ', ἀλλ' ἔκαμνε πηδῶσα,

οὐδὲν κρεμαστῆς σχοῦσα πλεῖον αἰώρας,]
παρῆλθεν, οὕτω βουκολοῦσα τὴν λύπην·
„Ὄμφαξ ὁ βότρυς, οὐ πέπειρος, ὡς ᾤμην."

Ὁ μῦθος ἐλέγχει τοὺς εἰς ἀνέκβατα κοπιῶντας πράγματα καὶ τούτων ἀστοχοῦντας ψόγους ψευδεῖς προβαλλομένους.

20.

(*ΒΟΗΛΑΤΗΣ ΚΑΙ ΗΡΑΚΛΗΣ.*)

Βοηλάτης ἅμαξαν ἦγεν ἐκ κώμης·
τῆς δ' ἐμπεσούσης εἰς φάραγγα κοιλώδη,
δέον βοηθεῖν, αὐτὸς ἀργὸς εἱστήκει·
τῷ δ' Ἡρακλεῖ προσηύχεθ', ὃν μόνον πάντων
θεῶν ἀληθῶς προσεκύνει τε κἀτίμα·
θεὸς δ' ἐπιστὰς εἶπε· „Τῶν τροχῶν ἅπτου
„καὶ τοὺς βόας κέντριζε· τοῖς θεοῖς δ' εὔχου,
„ὅταν τι ποιῇς καὐτός, ἢ μάτην εὔξῃ."

21.

(*ΒΟΕΣ.*)

Βόες μαγείρους ἀπολέσαι πότ' ἐζήτουν,
ἔχοντας αὐτοῖς πολεμίαν ἐπιστήμην.
καὶ δὴ συνεθροίζοντο, πρὸς μάχην ἤδη
κέρατ' ἀποξύνοντες. εἷς δέ τις λίην
γέρων ἐν αὐτοῖς (πολλὰ δ' ἦν ἀροτρεύσας)
„Οὗτοι μὲν ἡμᾶς" εἶπε „χερσὶν ἐμπείροις
„σφάζουσι καὶ κτείνουσι χωρὶς αἰκίης·
„ἢν δ' εἰς ἀτέχνους ἐμπέσωμεν ἀνθρώπους,
„διπλοῦς τότ' ἔσται θάνατος· οὐ γὰρ ἐλλείψει
„τὸν βοῦν ὁ θύσων, κἂν μάγειρος ἐλλείψῃ."
Ὁ τὴν παροῦσαν πημονὴν φεύγειν σπεύδων
ὁρᾶν ὀφείλει μή τι χεῖρον ἐξεύρῃ.

Ὁ μῦθος τοῦτο δηλοῖ, ὅτι ἄμεινον δουλεύειν σοφοῖς ἐπιεικέσιν ἢ δεσπόζεσθαι ὑπὸ σκαιῶν τε καὶ ἀπαιδεύτων.

22.

(ΑΝΗΡ ΜΕΣΟΠΟΛΙΟΣ ΚΑΙ ΔΥΟ ΕΡΩΜΕΝΑΙ.)

ου τις ἤδη τὴν μέσην ἔχων ὥρην
ἐος μὲν οὐκ ἦν, οὐδέπω δὲ πρεσβύτης)
υκὰς μελαίναις μιγάδας ἐκλόνει χαίτας·
' εἰς ἔρωτας ἐσχόλαζε καὶ κώμους·
α γυναικῶν δύο, νέας τε καὶ γραίας·
ον μὲν αὐτὸν ἡ νεᾶνις ἐζήτει
έπειν ἐραστήν, συγγέροντα δ' ἡ γραῖα.
ν οὖν τριχῶν ἑκάστοθ' ἡ μὲν ἀκμαίη
λλεν ἃς ηὕρισκε λευκανθιζούσας·
λλε δ' ἡ γραῦς, εἰ μέλαιναν ηὑρήκει·
ς φαλακρὸν ἡ νέα τε χἠ γραῖα
ηκαν, ἑκάστη τῶν τριχῶν ἀποσπῶσα·
γὰρ ἓν γε τιλλόμενος ἐγυμνοῦτο.
Φάσκει δ' ὁ μῦθος τοῦτο πᾶσιν ἀνθρώποις·
εεινὸς ὅστις εἰς γυναῖκας ἐμπίπτει·
εἰ γὰρ ἕν γε δακνόμενος γυμνοῦται.]

23.

(ΒΟΗΛΑΤΗΣ ΤΑΥΡΟΝ ΑΠΟΛΕΣΑΣ.)

ηλάτης ἄνθρωπος εἰς μακρὰν ὕλην
ῦρον κεράστην ἀπολέσας ἀνεζήτει·
ηκε δ' εὐχὴν ταῖς ὀρεινόμοις νύμφαις,
ρμῇ νομαίῳ, Πανί, τοῖς πέριξ, ἄρνα
ιβὴν παρασχεῖν, εἰ λάβοιτο τὸν κλέπτην.
θον δ' ὑπερβὰς τὸν καλὸν βλέπει ταῦρον
οντι θοίνην· δυστυχὴς δ' ἐπαρᾶται
ὶ βοῦς προσάξειν, εἰ φύγοι γε τὸν κλέπτην.
Ἐντεῦθεν ἡμᾶς τοῦτ' ἔοικε γινώσκειν·
ουλον εὐχὴν τοῖς θεοῖσι μὴ πέμπειν,
τῆς πρὸς ὥραν ἐκφοβουμένους λύπης.

ΑΡΧΗ ΤΟΥ Γ.

24.

(ΓΑΜΟΙ ΗΛΙΟΥ.)

Γάμοι μὲν ἦσαν Ἡλίου θέρους ὥρῃ·
τὰ ζῷα δ' ἱλαροὺς ἦγε τῷ θεῷ κώμους.
καὶ βάτραχοι δὲ λιμναίους χοροὺς ἦγον·
οἷς εἶπε παύσας φρῦνος· „Οὐχὶ παιάνων
„τοῦτ' ἐστὶν ἥμιν, φροντίδων δὲ καὶ λύπης·
„ὃς γὰρ μόνος νῦν λιβάδα πᾶσαν αὐαίνει,
„τί μὴ οὐ πάθωμεν τῶν κακῶν, ἐὰν γήμας
„ὅμοιον αὐτῷ παιδίον τι γεννήσῃ;“
Χαίρουσι πολλοὶ τῶν ὑπερβολῇ κούφων,
ἐφ' οἷς ἄγαν μέλλουσιν οὐχὶ χαιρήσειν.

25.

(ΛΑΓΩΟΙ ΚΑΙ ΒΑΤΡΑΧΟΙ.)

Γνώμη λαγωοὺς εἶχε μηκέτι ζώειν,
πάντας δὲ λίμνης εἰς μέλαν πεσεῖν ὕδωρ,
ὁθούνεκ' εἰσὶν ἀδρανέστατοι ζῴων
ψυχάς τ' ἄτολμοι, μοῦνον εἰδότες φεύγειν.
ἐπεὶ δὲ λίμνης ἐγγὺς ἦσαν εὐρείης
καὶ βατράχων ὅμιλον εἶδον ἀκταίων
βαθέην ἐς ἰλὺν ὀκλαδιστὶ πηδώντων,
ἐπεστάθησαν, καί τις εἶπε θαρσήσας·
„ἄψ νῦν ἴωμεν· οὐκέτι χρεὼν θνήσκειν·
ὁρῶ γὰρ ἡμῶν ἀσθενεστέρους ἄλλους.“

26.

(ΓΕΩΡΓΟΣ ΚΑΙ ΓΕΡΑΝΟΙ.)

Γέρανοι γεωργοῦ κατενέμοντο τὴν χώρην
ἐσπαρμένην νεωστὶ πυρίνῳ σίτῳ.

πολλοῦ σφενδόνην κενὴν σείων,
αὐτὰς τῷ ψόφῳ καταπλήσσων.
ἐπέσχον σφενδονῶντα τὰς αὔρας,
ησαν λοιπόν, ὥστε μὴ φεύγειν,
ος οὐκέθ', ὡς πρὶν εἰώθει,
ὲ βάλλων, ἠλόησε τὰς πλείους.
ιποῦσαι τὴν ἄρουραν ἀλλήλαις
ιεν" ἐκραύγαζον „εἰς τὰ Πυγμαίων·
ος οὗτος οὐκέτ' ἐκφοβεῖν ἥμας
ἤδη δ' ἄρχεταί τι καὶ πράσσειν."

ίνεσιν ὁ λόγος ἔχει, δεῖν ταῖς ἐκ λόγων παραινέσεσι εἴκειν, ἵνα μὴ ταῖς ἐξ ἔργων ὀψέ ποτε πειραθεῖεν

27.

(ΓΑΛΗ ΣΤΛΛΗΦΘΕΙΣΑ.)

όλῳ τις συλλαβών τε καὶ δήσας
ὑδάτων ἐν συναγκείᾳ κοίλῃ·
ἡ λεγούσης, „Ὡς κακὴν χάριν τίνεις
λουν θηρῶσα μῦς τε καὶ σαύρας."
τυρῶ σοι," φησίν, „ἀλλὰ καὶ πάσας
ὄρνεις, πάντα δ' οἶκον ἠρήμους,
δ' ἀνέῳγες ἄγγος· ὥστε τεθνήξῃ,)
ῦσα μᾶλλον ἤπερ ὠφελοῦσ' ἥμας."

τοὺς μετρίως μὲν ὠφελοῦντας, βλάπτοντας δὲ τὰ ἰκαιρός ἐστιν ὁ λόγος.

28.

(ΒΟΤΣ ΚΑΙ ΦΡΤΝΟΣ.)

φρύνου συνεπάτησε βοῦς πίνων·
δ' αὐτόσ' (οὐ παρῆν γάρ) ἡ μήτηρ
ν ἀδελφῶν ποῦ ποτ' ἦν ἐπεζήτει.
ε, μῆτερ· ἄρτι γὰρ πρὸ τῆς ὥρας

„ἦλθεν πάχιστον τετράπουν, ὑφ' οὗ κεῖται
„χηλῇ μαλαχθείς.“ ἡ δὲ φρῦνος ἠρώτα
φυσῶσ' ἑαυτήν, εἰ τοσοῦτον ἦν ὄγκῳ
τὸ ζῷον. οἱ δὲ μητρί „Παῦε, μὴ πρίου·
„θᾶσσον σεαυτὴν“ εἶπον „ἐκ μέσου ῥήξεις,
„ἢ τὴν ἐκείνου πιότητα μιμήσῃ.“

Ὅτι ἐπικίνδυνον τοῖς ἐλάττοσι παρατείνεσθαι τοῖς μείζοσι

29.

(ΙΠΠΟΣ ΓΕΡΩΝ.)

Γέρων ποθ' ἵππος εἰς ἀλητὸν ἐπράθη.
ζευχθεὶς δ' ὑπὸ μύλην ἤλεσ' ἑσπέρην πᾶσαν,
καὶ δὴ στενάξας εἶπεν· „Ἐκ δρόμων οἵων
„καμπτῆρας οἵους ἀλφιτεῦσι γυρεύω.“
[Μὴ λίαν ἐπαίρου πρὸς τὸ τῆς ἀκμῆς γαῦρον·
πολλοῖς τὸ γῆρας εἰς πόνους ἀνηλώθη.]

30.

(ΛΙΘΟΥΡΓΟΣ ΚΑΙ ΕΡΜΗΣ.)

Γλύψας ἐπώλει λύγδινόν τις Ἑρμείην.
τὸν δ' ἠγόραζον ἄνδρες, ὃς μὲν εἰς στήλην
(υἱὸς γὰρ αὐτῷ προσφάτως ἐτεθνήκει),
ὁ δὲ χειροτέχνης ὡς θεὸν καθιδρύσων.
ἦν δ' ὀψέ· χὠ λιθουργὸς οὐκ ἐπεπράκει,
συνθέμενος αὐτοῖς εἰς τὸν ὄρθρον αὖ δεῖξαι
ἐλθοῦσιν. ὁ δὲ λιθουργὸς εἶδεν ὑπνώσας
αὐτὸν τὸν Ἑρμῆν ἐν πύλαις ὀνειρείαις
εἶδεν λέγοντα· „Τἀμὰ νῦν ταλαντεύῃ·
„ἓν γάρ με, νεκρὸν ἢ θεόν, σὺ ποιήσεις.“

31.

(*ΓΑΛΑΙ ΚΑΙ ΜΥΕΣ.*)

'οτ' εἶχον καὶ μύες πρὸς ἀλλήλους
ιν ἀεὶ πόλεμον, αἱμάτων πλήρη·
' ἐνίκων. οἱ μύες δὲ τῆς ἥττης
ὑπάρχειν αἰτίην σφίσιν ταύτην,
ιτηγοὺς οὐκ ἔχοιεν ἐκδήλους,
:τάκτως ὑπομένουσι κινδύνους.
τοίνυν τοὺς γένει τε καὶ ῥώμῃ
ι' ἀρίστους εἰς μάχην τε γενναίους,
ἐκόσμουν καὶ διεῖλον εἰς ἴλας
τε καὶ φάλαγγας, ὡς ἐν ἀνθρώποις.
ἐτάχθη πάντα καὶ συνηθροίσθη,
* * * *
γαλῆν μῦς προὐκαλεῖτο θαρσήσας,
:ρατηγοὶ λεπτὰ πηλίνων τοίχων
ιετώποις ἁρμόσαντες ἀχρεῖα
), παντὸς ἐκφανέστατοι πλήθους.
ὲ φύζα τοὺς μύας κατειλήφει.
ὲν οὖν σωθέντες ἦσαν ἐν τρώγλαις·
στρατηγοὺς εἰστρέχοντας οὐκ εἴα
σσὰ κάρφη τῆς ὀπῆς ἔσω δύνειν,
ι' ἑάλων αὐτόθι μυχῶν πρόσθεν.
ἐπ' αὐτοῖς καὶ τρόπαιον εἱστήκει,
:κάστης μῦν στρατηγὸν ἑλκούσης.
:ι δ' ὁ μῦθος· „Εἰς τὸ ζῆν ἀκινδύνως
χμπρότητος ηὐτέλεια βελτίων."

32.

(*ΓΑΛΗ ΚΑΙ ΑΦΡΟΔΙΤΗ.*)

ιοτ' ἀνδρὸς εὐπρεποῦς ἐρασθείσῃ
σεμνὴ Κύπρις, ἡ Πόθων μήτηρ,

μορφὴν ἀμεῖψαι καὶ λαβεῖν γυναικείην
καλῆς γυναικός, ἧς τίς οὐχ ἑκὼν ἤρα;
ἰδὼν δ' ἐκεῖνος (ἐν μέρει γὰρ ἡλώκει)
γαμεῖν ἔμελλεν. ἠρμένου δὲ τοῦ δείπνου
παρέδραμεν μῦς. ἡ δὲ τῆς βαθυστρώτου
καταβᾶσα κλίνης ἐπεδίωκεν ἡ νύμφη.
γάμου δὲ δαιτὴ λέλυτο, καὶ καλῶς παίξας
Ἔρως ἀπῆλθε· τῇ φύσει γὰρ ἡττήθη.

Πρὸς τοὺς τὴν φύσιν τῶν πραγμάτων ὁρᾶν ὡς ἔχ βουλομένους, τῇ δὲ τούτων φαντασίᾳ πλανωμένους, ἔλεγ μῦθος ἔχει.

ΑΡΧΗ ΤΟΥ Δ.

33.

(ΓΕΩΡΓΟΣ ΚΑΙ ΨΑΡΕΣ.)

Δυσμαὶ μὲν ἦσαν Πλειάδων, σπόρου δ' ὥρη·
καί τις γεωργὸς πυρὸν εἰς νειὸν ῥίψας
ἐφύλασσεν ἑστώς. καὶ γὰρ ἄκριτον πλήθει
μέλαν κολοιῶν ἔθνος ἦλθε δυσφώνων,
ψᾶρές τ' ὄλεθρος σπερμάτων ἀρουραίων.
τῷ δ' ἠκολούθει σφενδόνην ἔχων κοίλην
παιδίσκος, οἱ δὲ ψᾶρες ἐκ συνηθείης
ἤκουον εἰ τὴν σφενδόνην πότ' ᾐτήκει,
καὶ πρὶν λαβεῖν ἔφευγον. εὗρε δὴ τέχνην
ὁ γεωργὸς ἄλλην, τόν τε παῖδα φωνήσας
ἐδίδασκεν· „Ὦ παῖ, χρὴ γὰρ ὀρνέων ἡμᾶς
„σοφὸν δολῶσαι φῦλον· ἡνίκ' ἂν τοίνυν
„ἔλθωσ', ἐγὼ μὲν" εἶπεν „ἄρτον αἰτήσω·
„σὺ δ' οὐ τὸν ἄρτον, σφενδόνην δέ μοι δώσεις
οἱ ψᾶρες ἦλθον κἀνέμοντο τὴν χώρην.

δ' ἄρτον ᾔτει, καθάπερ εἶχε συνθήκην·
δ' οὐκ ἔφευγον. τῷ δ' ὁ παῖς λίθων πλήρη
ἡν σφενδόνην ἔδωκεν· ὁ δὲ γέρων ῥίψας
ιῦ μὲν τὸ βρέγμα, τοῦ δ' ἔτυψε τὴν κνήμην,
ιέρου τὸν ὦμον. οἱ δ' ἔφευγον ἐκ χώρης.
έρανοι συνήντων καὶ τὸ συμβὰν ἠρώτων.
αί τις κολοιῶν εἶπε· „Φεύγετ' ἀνθρώπων
γένος πονηρόν, ἄλλα μὲν πρὸς ἀλλήλους
λαλεῖν μαθόντων, ἄλλα δ' ἔργα ποιούντων."
[Δεινὸν τὸ φῦλον τῶν δόλῳ τι πραττόντων.]

34.

(ΠΑΙΣ ΕΣΘΙΩΝ ΣΠΛΑΓΧΝΑ.)

Ἰήμητρι ταῦρον ὄχλος ἀγρότης θύων
'λῳ πλατεῖαν οἰνάροις κατεστρώκει,
* * * * *
ρεῶν τραπέζας εἶχε καὶ πίθους οἴνου.
κ τῶν δὲ παίδων ἐσθίων τις ἀπλήστως
πὸ τῶν βοείων ἐγκάτων ἐφυσήθη,
ἀπῆλθ' ἐς οἴκους, γαστρὸς ὄγκον ἀλγήσας.
εσὼν δ' ἐν ὑγραῖς μητρὸς ἀγκάλαις „Οἴμοι·
τί ταῦτ';" ἐφώνει· „δυστυχὴς ἀποθνήσκω.
τὰ σπλάγχνα γάρ, τεκοῦσα, πάντα μουκπίπτει."
δ' εἶπε· „Θάρσει κἀπόβαλλε· μὴ φείδου·
ὐ γάρ σά, τέκνον, ἀλλ' ἐμεῖς τὰ τοῦ ταύρου."
Ὅταν ὀρφανοῦ τις οὐσίαν ἀναλώσας,
ειτα ταύτην ἐκτίνων ἀποιμώζῃ,
ὸς τοῦτον ἄν τις καταχρέοιτο τῷ μύθῳ.

35.

(ΠΙΘΗΚΟΙ.)

ο μὲν υἱοὺς ἡ πίθηκος ὠδίνει,
οῦσα δ' αὐτοῖς ἐστιν οὐκ ἴση μήτηρ,

ἀλλ' ὃν μὲν αὐτῶν ἀθλίης ὑπ' εὐνοίης
θάλπουσα κόλποις ἀγρίοις ἀποπνίγει,
τὸν δ' ὡς περισσὸν καὶ μάταιον ἐκβάλλει·
κἀκεῖνος ἐλθὼν εἰς ἐρημίην ζώει.
Τοιοῦτο πολλῶν ἐστιν ἦθος ἀνθρώπων,
οἷς ἐχθρὸς ἀεὶ μᾶλλον ἢ φίλους γίγνου.

36.

(ΦΗΓΟΣ ΚΑΙ ΚΑΛΑΜΟΣ.)

Δρῦν αὐτόριζον ἄνεμος ἐξ ὄρους ἄρας
ἔδωκε ποταμῷ· τὴν δ' ἔσυρε κυμαίνων,
πελώριον φύτευμα τῶν πρὶν ἀνθρώπων.
πολὺς δὲ κάλαμος ἑκατέρωθεν ἑστήκει
ἐλαφρός, ὄχθης ποταμίας ὕδωρ πίνων.
θάμβος δὲ τὴν δρῦν εἶχε, πῶς ὁ μὲν λίην
λεπτός τ' ἐὼν κἀβληχρὸς οὐκ ἐπεπτώκει,
αὐτὴ δὲ τόσση φηγὸς ἐξεριζώθη.
σοφῶς δὲ κάλαμος εἶπε· „Μηδὲν ἐκπλήσσου·
„σὺ μὲν μαχομένη ταῖς πνοαῖς ἐνικήθης,
„ἡμεῖς δὲ καμπτόμεσθα μαλθακῇ γνώμῃ,
„κἂν βαιὸν ἡμῶν ἄνεμος ἄκρα κινήσῃ.“
κάλαμος μὲν οὕτως· ὁ δέ γε μῦθος ἐμφαίνει
μὴ δεῖν μάχεσθαι τοῖς κρατοῦσιν, ἀλλ' εἴκειν.

37.

(ΔΑΜΑΛΗΣ ΚΑΙ ΤΑΥΡΟΣ.)

Δαμάλης ἐν ἀγροῖς, ἄφετος, ἀτριβὴς ζεύγλης,
κάμνοντι καὶ σύροντι τὴν ὕνιν ταύρῳ
„Τάλας,“ ἐφώνει· „μόχθον οἷον ὀτλεύεις.“
ὁ βοῦς δ' ἐσίγα χὐπέτεμνε τὴν χώραν.
ἐπεὶ δ' ἔμελλον ἀγρόται θεοῖς θύειν,
ὁ βοῦς μὲν ὁ γέρων εἰς νομὰς ἀπεζεύχθη,

'χος ἀδμὴς κεῖνος εἵλκετο, σχοίνῳ
:έρατα, βωμὸν αἵματος πλήσων.
: αὐτῷ τοιάδ' εἶπε φωνήσας·
ῦτα μέντοι μὴ πονῶν ἐτηρήθης·
παρέρπεις τὸν γέροντα καὶ θύῃ,
ῦ τένοντα πέλεκυς, οὐ ζυγὸς τρίψει."

σκει ἡμᾶς ὁ μῦθος, ὅτι ἡ καλὴ ἐπιστήμη ἐκ θανάτου

38.

(ΠΕΥΚΗ.)

ιι τινὲς σχίσαντες ἀγρίην πεύκην
αὐτῇ σφῆνας, ὡς διασταίη
τ' αὐτοῖς ὁ πόνος ὕστερον ῥάων.
τένουσα „Πῶς ἂν" εἶπε „μεμφοίμην
λεκυν, ὅς μου μὴ προσῆκε τῇ ῥίζῃ,
ς κακίστους σφῆνας, ὧν ἐγὼ μήτηρ;
γὰρ ἄλλῃ μ' ἐμπεσὼν διαρρήσσει."
θος ἡμῖν τοῦτο πᾶσι μηνύει,
ν οὕτω δεινὸν ἂν πρὸς ἀνθρώπων
τι τῶν ἔξωθεν, ὡς ὑπ' οἰκείων.

39.

(ΔΕΛΦΙΝΕΣ ΚΑΙ ΚΑΡΚΙΝΟΣ.)

ς ἀεὶ διεφέροντο φαλαίναις·
παρῆλθε καρκίνος μεσιτεύων·
ς ὢν ἄδοξος ἐν πολιτείαις
τυράννων μαχομένων εἰρηνεύοι.

40.

(ΚΑΜΗΛΟΣ.)

ε ποταμὸν ὀξὺν ὄντα τῷ ῥείθρῳ
άμηλος, εἶτ' ἔχεζε· τοῦ δ' ὄνθου

φθάνοντος αὐτὴν εἶπεν· „Ἠ κακῶς πράττω·
„ἔμπροσθεν ἤδη τἀξόπισθέ μου βαίνει.“
Πόλις ἄν τις εἴποι τὸν λόγον τὸν Αἰσώπου,
ἧς ἔσχατοι κρατοῦσιν ἀντὶ τῶν πρώτων.

41.

(ΣΑΥΡΑ.)

Διαρραγῆναί φασιν ἐκ μέσου νώτου
δράκοντι μῆκος ἐξισουμένην σαύραν.
Βλάψεις σεαυτὸν κοὐδὲν ἄλλο ποιήσεις,
ἂν τὸν σὲ λίαν ὑπερέχοντα μιμήσῃ.

42.

(ΚΥΩΝ ΚΑΙ ΜΑΓΕΙΡΟΣ.)

Δεῖπνόν τις εἶχε λαμπρὸν ἐν πόλει θύσας.
ὁ κύων δὲ τούτου κυνὶ φίλῳ συναντήσας
ἐλθεῖν πρὸς αὐτὸν ἐπὶ τὸ δεῖπνον ἠρώτα·
κἀκεῖνος ἦλθε· τὸν δὲ τοῦ σκέλους ἄρας
ὁ μάγειρος ἐκτὸς ἐξέριψε τοῦ τοίχου
ἐς τὴν ἀγυιάν· τῶν κυνῶν δ' ἐρωτώντων,
ὅπως ἐδείπνησ', εἶπε· „Πῶς γὰρ ἂν κρεῖττον,
„ὃς οὐδὲ ποίαν ἀναλύειν με γινώσκω;“

Ὅτι τοῖς μὴ λόγῳ τοῖς πράγμασιν ἐγχειροῦσιν ἕπεται πο-
λάκις τὸ κακῶς ἐν αὐτοῖς πάσχειν.

ΑΡΧΗ ΤΟΥ Ε.

43.

(ΕΛΑΦΟΣ ΚΑΙ ΚΥΝΗΓΕΤΑΙ.)

κεράστης ὑπὸ τὸ καῦμα διψήσας
ὕδωρ ἔπινεν ἡσυχαζούσης·
ἑαυτοῦ τὴν σκιὴν θεωρήσας
:ὲν ἕνεκεν καὶ ποδῶν ἐλυπήθη,
; κέρασι δ' ὡς καλοῖς ἄγαν ηὔχει.
)ὲ Νέμεσις, ἣ τὰ γαῦρα πημαίνει.
:ας γὰρ ἄνδρας εἶδεν ἐξαίφνης
:γήναις καὶ σκύλαξιν εὐρίνοις·
ἔφευγε, δίψαν οὐδέπω παύσας,
:ρὸν ἐπέρα πεδίον ἴχνεσιν κούφοις.
δὴ σύνδενδρον ἦλθεν εἰς ὕλην,
θάμνοις ἐμπλακεὶς ἐθηρεύθη,
τ' ἔφη· „Δύστηνος, ὡς διεψεύσθην·
πόδες μ' ἔσωζον, οἷς ἐπῃδούμην·
ατα δὲ προὔδωκεν, οἷς ἐγαυρούμην.“
τῶν σεαυτοῦ πραγμάτων ὅταν κρίνῃς,
)έβαιον ὑπολάβῃς προγινώσκων,
τ' ἀπογνῷς μηδ' ἀπελπίσῃς· οὕτω
υσιν ἡμᾶς ἐνίοθ' αἱ πεποιθήσεις.

44.

(ΤΑΥΡΟΙ ΚΑΙ ΛΕΩΝ.)

το ταῦροι τρεῖς ἀεὶ μετ' ἀλλήλων.
: τούτους συλλαβεῖν ἐφεδρεύων
:ν αὐτοὺς οὐκ ἔδοξε νικήσειν,
)' ὑπούλοις διαβολαῖς τε συγκρούων
; ἐποίει, χωρίσας δ' ἀπ' ἀλλήλων
αὐτῶν ἔσχε ῥᾳδίαν θοίνην.

Ὅταν μάλιστα ζῆν θέλῃς ἀκινδύνως,
ἐχθροῖς ἀπίστει, τοὺς φίλους δ' ἀεὶ τήρει.

45.

(*ΑΙΠΟΛΟΣ ΚΑΙ ΑΙΓΕΣ.*)

Ἔνειφεν ὁ Ζεύς· αἰπόλος δέ τις φεύγων
εἰς ἄντρον εἰσήλαυνε τῶν ἀοικήτων
τὰς αἶγας ἄκρῃ χιόνι λευκανθιζούσας.
εὑρὼν δ' ἐκεῖ τάχιον εἰσδεδυκυίας
αἶγας κερούχους ἀγρίας, πολὺ πλείους
ὧν αὐτὸς ἦγε, μείζονάς τε καὶ κρείσσους,
ταῖς μὲν φέρων ἔβαλλε θαλλὸν ἐξ ὕλης,
τὰς δ' ἰδίας ἀφῆκε μακρὰ λιμώττειν.
ὡς δ' ᾐθρίαζε, τὰς μὲν εὗρε τεθνώσας·
αἱ δ' οὐκ ἔμειναν, ἀλλ' ὀρῶν ἀβοσκήτων
ἀνέμβατον δρυμῶνα ποσσὶν ἠρεύνων.
ὁ δ' αἰπόλος γελάσας ἦλθεν εἰς οἴκους
αἰγῶν ἔρημος· ἐλπίσας δὲ τὰ κρείσσω
οὐκ ὤνατ' οὐδ' ὧν αὐτὸς εἶχεν ἐκ πρώτης.

Ὁ μῦθος ἡμᾶς ἐκδιδάσκει μηδαμῶς τῶν οἰκείων ἀμεὶ μάλιστα κέρδους ἕνεκα ἀμφιβόλου ὑπάρχοντος.

46.

(ΕΛΑΦΟΣ ΝΟΣΩΝ.)

Ἔλαφος καθ' ὕλην γυῖα κοῦφα ναρκήσας
ἔκειτο πεδίων ἐν χλόῃ βαθυσχοίνῳ,
ἐξ ἧς ἕτοιμον χιλὸν εἶχε πεινήσας.
ἤρχοντο δ' ἀγέλαι ποικίλων ἐκεῖ ζώων
ἐπισκοπούντων· ἦν γὰρ ἀβλαβὴς γείτων.
ἐλθὼν δ' ἕκαστος τῆς πόας τ' ἀποτρώγων,
ᾔει πρὸς ὕλας· ὁ δὲ (τάλας) πείνῃ θνήσκει,
[ἔλαφος δὲ λιμῷ, κοὐ νόσῳ, κατεσκλήκει.]

κορώνην δευτέραν ἀναπλήσας,
ρίλους οὐκ ἔσχε, κἂν γεγηράκει.

ῦθος τοῦτο λέγει· δεῖν τὰ ὁπωσοῦν ἐπιόντα δεινὰ λό-ιμαρίζειν ἠπίοις, καὶ τὸ τούτων ὀχληρὸν ἀποπαύειν.

47.

(ΓΕΩΡΓΟΣ ΚΑΙ ΥΙΟΙ.)

: παλαιοῖς ἦν ἀνὴρ ὑπεργήρως,
ὲ πολλοὺς παῖδας· οἷς ἐπισκήπτων
γὰρ δὴ τὸν βίον τελευτήσειν)
λεπτῶν, εἴ τίς ἐστί που, ῥάβδων
ἐνεγκεῖν. ἧκέ τις φέρων ταύτην.
σθε δή μοι, τέκνα, σὺν βίῃ πάσῃ
υς κατᾶξαι δεδεμένας σὺν ἀλλήλαις.“
ὁ γὰρ ἠδύναντο. „Κατὰ μίαν τοίνυν
ɜθ'.“ ἑκάστης δ' εὐχερῶς καταγείσης
ίδες, οὕτως“ εἶπεν, ἂν μὲν ἀλλήλοις
ονῆτε πάντες, οὐδ' ἂν εἷς ὕμας
ιι δύναιτο, κἂν μέγιστον ἰσχύῃ·
ἄλλος ἄλλου χωρὶς ἦτε τὴν γνώμην,
ιθ' ἕκαστος ταὐτὰ τῇ μιᾷ ῥάβδῳ.“
ιδελφία μέγιστον ἀγαθὸν ἀνθρώποις,
απεινοὺς ὄντας ἦρεν εἰς ὕψος.

ῦθος ἡμᾶς ἐκδιδάσκει ὅσον τὸ τῆς ὁμονοίας καλὸν καὶ τὸ ἐπιζήμιον τοῖς μηδαμῶς ταύτην κεκτημένοις.

48.

(ΕΡΜΗΣ ΚΑΙ ΚΥΩΝ.)

ι τις Ἑρμῆς τετράγωνος εἱστήκει·
δ' ὑπ' αὐτῷ σωρὸς ἦν. κύων τούτῳ
οσελθών· „Χαῖρε πρῶτον, Ἑρμεία·
ἀλεῖψαι βούλομαί σε μηδ' οὕτω
ταρελθεῖν, καὶ θεὸν παλαιστρίτην.“

ὁ δ' εἶπεν· „Ἄν μοι τοῦτο μὴ 'πιλιχμήσῃς
„τοὔλαιον ἐλθών, μηδέ μοι προσουρήσῃς,
„χάριν εἴσομαί σοι· καὶ πλέον με μὴ τίμα.“

Ὅτι τοῖς κακοῖς ἀρκεῖ τέως, οὐκ ἄλλως πως δυναμέ τὰ βελτίω δρᾶσαι, κἂν τῶν συνήθων αὐτῶν αἰτιῶν ἀργῆσα

49.

(ΕΡΓΑΤΗΣ ΚΑΙ ΤΥΧΗ.)

Ἐκάθευδε νύκτωρ ἐργάτης ὑπ' ἀγνοίας
φρέατος ἐγγύς· τῆς Τύχης δ' ἐπιστάσης
ἔδοξ' ἀκούειν· „Οὗτος, οὐκ ἐγερθήσῃ;
„μή σου πεσόντος αἰτία παρ' ἀνθρώποις
„ἐγὼ λέγωμαι καὶ κακὴν λάβω φήμην.
„ἐμοὶ γὰρ ἐγκαλοῦσι πάντα συλλήβδην,
„ὅσ' ἂν παρ' αὑτοῦ δυστυχῇ τις ἢ πταίῃ.“

Ἔλεγχος τῶν εἱμαρμένην δοξαζόντων καὶ ἀνάγκῃ τὰ ἡμῶν ἐξουσίας ὑποβαλλόντων καὶ μὴ τῷ αὐτεξουσίῳ εἰς ἰ κεχρημένων.

50.

(ΑΛΩΠΗΞ ΚΑΙ ΔΡΥΤΟΜΟΣ.)

Ἔφευγ' ἀλώπηξ· τῆς δ' ὄπισθε φευγούσης
κυνηγὸς ἐτρόχαζεν. ἡ δ' ἐκεκμήκει,
δρυτόμον δ' ἰδοῦσα „Πρὸς θεῶν σε σωτήρων,
„κρύψον με ταύταις, αἷς ἔκοψας, αἰγείροις·
„καὶ τῷ κυνηγῷ“ φησί „μή με μηνύσῃς.“
ὁ δ' οὐ προδώσειν ὤμνυ', ἡ δ' ἀπεκρύφθη.
ἦλθεν κυνηγὸς καὶ τὸν ἄνδρ' ἐπηρώτα,
μὴ τῇδ' ἀλώπηξ καταδέδυκεν ἢ φεύγει.
„Οὐκ εἶδον,“ εἶπε· τῷ δὲ δακτύλῳ νεύων
τὸν τόπον ἐδείκνυ', οὗ πανοῦργος ἐκρύφθη·
ὁ δ' οὐκ ἐπισχών, τῷ λόγῳ δὲ πιστεύσας,
παρῆλθε. θερμοῦ δ' ἐκφυγοῦσα κινδύνου

ερδῷ παχείας ἐξέκυπτεν αἰγείρου,
εσηρὸς αἰκάλλουσα. τῇ δ' ὁ πρεσβύτης
Ζωαγρίους μοι χάριτας" εἶπεν „ὀφλήσεις.
„ἐρρυσάμην σε" φησίν, „ἀλλά μου μνήσκου."
,Πῶς οὐκ ἄν," εἶπεν, „ὧν γε μάρτυς εἱστήκειν;]
,ἔρρωσο τοίνυν, καὶ τὸν Ὅρκον οὐ φεύξῃ
,φωνῇ με σώσας, δακτύλῳ δ' ἀποκτείνας."
Σοφὸν τὸ θεῖον κἀπλάνητον· οὐδ' ἄν τις
λαθεῖν ἐπιορκῶν προσδοκᾷ, δίκην φεύγει.

Εὐκαίρως ὁ μῦθος ῥηθήσεται πρὸς ἐκείνους, τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους, δόλια δὲ καὶ φαῦλα ἐργαζομένους.

51.

(ΧΗΡΑ ΚΑΙ ΠΡΟΒΑΤΟΝ.)

Εν τῷ ποτ' οἴκῳ πρόβατον εἶχέ τις χήρα.
θέλουσα δ' αὐτοῦ τὸν πόκον λαβεῖν μείζω,
ἔκειρεν ἀτέχνως, τῆς τε σαρκὸς οὐ πόρρω
τὸν μαλλὸν ἐψάλιζεν, ὥστε τιτρώσκειν.
ἀλγοῦν δὲ πρόβατον εἶπε· „Μή με λυμαίνου·
„πόσην γὰρ ὁλκὴν τοὐμὸν αἷμα προσθήσει;
„ἀλλ' εἰ κρεῶν, δέσποινα, τῶν ἐμῶν χρῄζεις,
„ἔστιν μάγειρος, ὅς με συντόμως θύσει·
„εἰ δ' εἰρίων πόκου σὺ κοὐ κρεῶν χρῄζεις,
„πάλιν ἔστι κουρεύς, ὅς κερεῖ με καὶ σώσει."

Πρὸς τοὺς μετὰ ἀπειρίας τοῖς πράγμασιν ἐγχειροῦντας, ἐξ ἧς οὐ τοσοῦτον τὸ κέρδος, ὅση βλάβη προσγίνεται.

52.

(ΒΟΗΛΑΤΗΣ ΚΑΙ ΑΜΑΞΑ.)

Εἰς ἄστυ τετράκυκλον ἄρρενες ταῦροι
ἅμαξαν ὤμοις εἷλκον, ἡ δ' ἐτετρίγει,
καὶ τὸν βοώτην θυμὸς εἶχε· τῇ δ' οὕτως
ἐγγὺς προσελθὼν εἶπεν ὡς ἀκουσθῆναι·

„Ὦ παγκάκιστον κτημάτων, τί δὴ κρώζεις,
„ἄλλων ἐπ' ὤμοις φερομένη σιωπώντων;“
Κακοῦ πρὸς ἀνδρός ἐστι μακρὸν οἰμώζειν
ἄλλων πονούντων, ὥσπερ αὐτὸς εἰ κάμνοι.

Ὁ μῦθος τοῦτο λέγει· μηδαμῶς ἐν τοῖς πράγμασιν ἄλλων πονουμένων ἄλλους ἀδίκως οἰμώζειν καὶ πόνους ἀλλοτρίους ἑαυτοῖς ἐπιγράφειν.

53.

(*ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.*)

Εἰς λύκον ἀλώπηξ ἐμπεσοῦσα δειλαίη
ζωγρεῖν ἐδεῖτο μηδὲ γραῦν ἀποκτείνειν.
ὁ δ' „Ἂν λόγους μοι τρεῖς ἀληθινοὺς εἴπῃς,
„ἐγώ σε νὴ τὸν Πᾶνα“ φησὶ „ζωγρήσω.“
ἡ δ' „Εἴθε μέν μοι πρῶτα μὴ συνηντήκεις·
„ἔπειτα δ', εἴθε τυφλὸς ὢν ὑπηντήκεις·
„τρίτον δ' ἐπ' αὐτοῖς, εἴθε μὴ σύγ' εἰς ὥρας
„ἵκοιο μηδέ μοι πάλιν συναντήσαις.“

Ὅτι πολλάκις αἱ περιστάσεις πεφύκασι καὶ παρὰ γνώμην τὰ σιγῆς ἄξια εἰς τοὐμφανὲς ἄγειν.

54.

(*ΕΥΝΟΥΧΟΣ ΚΑΙ ΘΥΤΗΣ.*)

Εὐνοῦχος ἦλθε πρὸς θύτην ὑπὲρ παίδων
σκεψόμενος, ὁ θύτης δ' ἁγνὸν ἧπαρ ἁπλώσας
„Ὅταν μὲν“ εἶπε „ταῦτ' ἴδω, πατὴρ γίνῃ·
„ὅταν δὲ τὴν σὴν ὄψιν, οὐδ' ἀνὴρ φαίνῃ.“

Πρὸς τοὺς τὰς εὐχὰς ὑπὲρ τῶν οὐ δεόντων ποιουμένους ἢ καὶ ἄλλως μὴ δυναμένων γενέσθαι.

55.

(*ΒΟΥΣ ΚΑΙ ΟΝΟΣ.*)

Ἔαν βοῦν τις εἶχε· τὴν ὄνον δὲ συζεύξας
ἠροτρία, πτωχῶς μέν, ἀλλ' ἀναγκαίως.

δὲ τοὖργον ἐτετέλεστο καὶ λύειν
ιεν αὐτούς, ἥ τ' ὄνος διηρώτα
ϑοῦν· „Τίς ἄξει τῷ γέροντι τὰ σκεύη;“
βοῦς πρὸς αὐτὴν εἶπεν· „Ὃς πρὶν εἰώϑει.“

56.

(ΖΕΥΣ ΚΑΙ ΠΙΘΗΚΟΣ.)

κνίης ἔπαϑλα πᾶσι τοῖς ζώοις
ὺς ἔϑηκε· πάντα δ' ἔβλεπε κρίνων.
ν δὲ καὶ πίϑηκος ὡς καλὴ μήτηρ,
ινα σιμὸν γυμνὸν ἠρμένη κόλποις.
ς δ' ἐπ' αὐτῷ τοῖς ϑεοῖς ἐκινήϑη.
εἶπεν οὕτω· „Ζεὺς μὲν οἶδε τὴν νίκην·
ι δὲ πάντων οὗτός ἐστι καλλίων.“
λόγος δοκεῖ μοι πᾶσι τοῦτο σημαίνειν·
ιὐτὸς αὐτοῦ πᾶς τις εὐπρεπῆ κρίνει.

57.

(ΕΡΜΟΥ ΑΜΑΞΑ ΚΑΙ ΑΡΑΒΕΣ.)

ῆς, ἅμαξαν ψευσμάτων τε πληρώσας
ης τε πολλῆς καὶ πανουργίας πάσης,
νε διὰ γῆς, ἄλλο φῦλον ἐξ ἄλλου
ην ἀμείβων καὶ μέρος τι τῶν ῥώπων
ν ἑκάστῳ μικρόν. ὡς δὲ τῷ χώρῳ
ῶν Ἀράβων ἐπῆλϑε καὶ διεξήει,
υσιν αὐτοῦ συντριβεῖσαν ἐξαίφνης
ιαϑῆναι τὴν ἅμαξαν. οἱ δ', ὥσπερ
τιμον ἁρπάζοντες ἐμπόρου φόρτον,
υσαν αὐτήν, οὐδ' ἀφῆκαν εἰς ἄλλους
ιροελϑεῖν, καίπερ ὄντας ἀνϑρώπους.
ῦϑεν Ἄραβές εἰσιν, ὡς ἐπειράϑην,

ψεῦσταί τε καὶ γόητες, ὧν ἐπὶ γλώσσης
οὐδὲν κάθηται ῥῆμα τῆς ἀληθείας.

ΑΡΧΗ ΤΟΥ Ζ.

58.

(ΔΙΟΣ ΠΙΘΟΣ.)

Ζεὺς ἐν πίθῳ τὰ χρηστὰ πάντα συλλέξας
ἔθηκεν αὐτὸν πωμάσας παρ' ἀνθρώπῳ.
ὁ δ' ἀκρατὴς ἄνθρωπος εἰδέναι σπεύδων,
τί ποτ' ἦν ἐν αὐτῷ, καὶ τὸ πῶμα κινήσας
διῆκ' ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους
κἀκεῖ πέτεσθαι τῆς τε γῆς ἄνω φεύγειν.
μόνη δ' ἔμεινεν Ἐλπίς, ἣν κατειλήφει
τεθὲν τὸ πῶμα. τοιγὰρ Ἐλπὶς ἀνθρώποις
μόνη σύνεστι, τῶν πεφευγότων ἡμᾶς
ἀγαθῶν ἕκαστον ἐγγυωμένη δώσειν.

59.

(ΖΕΥΣ, ΠΟΣΕΙΔΩΝ, ΑΘΗΝΑ ΚΑΙ ΜΩΜΟΣ.)

Ζεὺς καὶ Ποσειδῶν, φασί, καὶ τρίτη τούτοις
ἤριζ' Ἀθηνᾶ, τίς καλόν τι ποιήσει.
ποιεῖ μὲν ὁ Ζεὺς ἐκπρεπέστατον ζώων
ἄνθρωπον, ἡ δὲ Παλλὰς οἶκον ἀνθρώποις,
ὁ δ' αὖ Ποσειδῶν ταῦρον. ᾑρέθη τούτοις
κριτὴς ὁ Μῶμος· ἔτι γὰρ ἐν θεοῖς ᾤκει.
κἀκεῖνος, ὡς πέφυκε, πάντας ἐχθραίνων,
πρῶτον μὲν εὐθὺς ἔψεγεν τὸ τοῦ ταύρου,
τῶν ὀμμάτων τὰ κέρατα μὴ κάτω κεῖσθαι,
ὡς ἂν βλέπων ἔτυπτε. τοῦ δέ γ' ἀνθρώπου,

ἰχεῖν θυρωτὰ μηδ᾽ ἀνοικτὰ τὰ στήθη,
ἐν βλέποι τις τὸν πέλας, τί βουλεύοι·
οἰκίας δέ, μὴ τροχοὺς σιδηρείους
οῖς θεμελίοις γεγονέναι, τόπους ἄλλους
ἐξαμείβειν δεσπόταισιν ἐκδήμοις.

. . . .

Ἰί οὖν ὁ μῦθός φησιν ἐν διηγήσει;
ιρῶ τι ποιεῖν, τὸν φθόνον δὲ μὴ κρίνειν·
εστὸν ἁπλῶς οὐδέν ἐστι τῷ Μώμῳ."

60.

(ΜΥΣ ΠΕΣΩΝ ΕΝ ΧΥΤΡΑΙ.)

ιοῦ χύτρᾳ μῦς ἐμπεσὼν ἀπωμάστῳ
τῷ λίπει πνιγόμενος ἐκπνέων τ᾽ ἤδη
βρωκα" φησί „καὶ πέπωκα καὶ πάσης
ιῆς πέπλησμαι· καιρός ἐστί μοι θνήσκειν."
Τότ᾽ ἂν λίχνος γένοιο μῦς ἐν ἀνθρώποις,
ὸ καταβλάπτον ἡδὺ μὴ παραιτήσῃ.]

Ὅτι τὰ ἐπερχόμενα κατὰ ἀνάγκην κακὰ εἰώθασί τινες
ἰτοις λόγοις ἐξομαλίζειν.

ΑΡΧΗ ΤΟΥ Η.

61.

(ΚΥΝΗΓΟΣ ΚΑΙ ΑΛΙΕΥΣ.)

ι κυνηγὸς ἐξ ὄρους κυνηγήσας,
δὲ γριπεὺς κύρτον ἰχθύων πλήσας,
πως συνηβόλησαν οἱ δύ᾽ ἀλλήλοις·
μὲν κυνηγὸς ἰχθύων ἁλιπλώων,
ῶν δ᾽ ὁ γριπεὺς ἠρέτιζεν ἀγρείην·

τά τ᾽ εἶχον ἀντέδωκαν· εἶτα τὴν θήρην
ἤμειβον ἀεί, δεῖπνα δ᾽ εἶχον ἡδίω,
ἕως τις αὐτοῖς εἶπεν· „Ἀλλὰ καὶ τούτων
„τὸ χρηστὸν ἐξολεῖτε τῇ συνηθείᾳ,
„πάλιν δ᾽ ἕκαστος ἃ πρὶν εἶχε ζητήσει.“

Ὅτι πᾶς δυσάρεστος, τοῦ παρόντος ἡδέος μικρόν τι λαύσας, εὐθὺς τὴν ἐπιθυμίαν ἐφ᾽ ἕτερον τρέπει.

62.

(ΗΜΙΟΝΟΣ.)

Ἡμίονος ἀργῆς χιλὸν ἐσθίων φάτνης
καὶ κριθιάσας ἐτρόχαζε κἀφώνει,
τένοντα σείων· „Ἵππος ἐστί μοι μήτηρ,
„ἐγὼ δ᾽ ἐκείνης οὐδὲν ἐν δρόμοις ἥττων.“
ἄφνω δ᾽ ἔπαυσε τὸν δρόμον κατηφήσας·
ὄνου γὰρ εὐθὺς πατρὸς ὢν ἀνεμνήσθη.

Ὁ μῦθος διδάσκει ἡμᾶς μὴ μέγα φρονεῖν ἐν ταῖς ε ρίαις, μάλιστα δὲ τοὺς ἐξ ἀγενῶν προγόνων κατὰ τύχην σθέντας.

63.

(ΗΡΩΣ.)

Ἦν τις κατ᾽ οἴκους ἀνδρὸς εὐσεβοῦς ἥρως
ἔχων ἐν αὐλῇ τέμενος. ἔνθα δὴ θύων
στέφων τε βωμοὺς καὶ καταβρέχων οἴνῳ
προσηύχετ᾽ ἀεί· „Χαῖρε, φίλταθ᾽ ἡρώων,
„καὶ τὸν σύνοικον ἀγαθὰ δαψιλῆ ποίει.“
κἀκεῖνος αὐτῷ νυκτὸς ἐν μέσαις ὥραις
„Ἀγαθὸν μὲν“ εἶπεν „οὐδὲν ἄν τις ἡρώων
„ὦ τὰν παράσχοι· ταῦτα τοὺς θεοὺς αἴτει·
„κακῶν δὲ πάντων, ἃ ξύνεστιν ἀνθρώποις,
„δοτῆρες ἡμεῖς· τοιγὰρ εἰ κακῶν χρῄζεις,



' παρέξω πολλά, κἂν ἓν αἰτήσῃς.
ταῦτα λοιπὸν αὐτὸς οἶδας ἂν θύσῃς."]

τοὺς πονηροὺς οὐ δεῖ αἰτεῖν ἀγαθά· οὐ γὰρ παρέ-
εί δὲ κακά τις αἰτεῖται, ἑτοίμως μᾶλλον παρέχουσι.

64.

(*ΕΛΑΤΗ ΚΑΙ ΒΑΤΟΣ.*)

ἐλάτη καὶ βάτος πρὸς ἀλλήλας.
δ' ἑαυτὴν πολλαχῶς ἐπαινούσης
μέν εἰμι καὶ τὸ μέτρον εὐμήκης,
ῶν νεφῶν σύνοικος ὀρθίη φύω·
τε μελάθρων εἰμὶ καὶ τρόπις πλοίων.
ων τοσούτων ἐκπρεπεστάτη πάντων."
πρὸς αὐτὴν εἶπεν· ,,Ἢν λάβῃς μνήμην
τελέκεών γε τῶν ἀεί σε κοπτόντων
τῶν πελύκων τῶν ἀεί σε τεμνόντων,]
; γενέσθαι καὶ σὺ μᾶλλον αἱρήσῃ."
ς ὁ λαμπρὸς τῶν ἐλαττόνων μᾶλλον
ξαν ἔσχε χὐπέμεινε κινδύνους.

ῦθος πρὸς τοὺς κοσμικαῖς ἀρχαῖς μεγαλοφρονοῦντας
τοῦτο τῶν πέλας κατεπαιρομένους, οἳ μετὰ αὐταρκείας
ς κἀντεῦθεν τῶν μεγάλων ἐκφεύγουσι κινδύνων.

65.

(*ΓΕΡΑΝΟΣ ΚΑΙ ΤΑΩΣ.*)

τεφρὴ γέρανος εὐφυεῖ ταῷ
χρυσᾶς πτέρυγας. ,,Ἀλλ' ἐγὼ ταύταις,"
νος εἶπεν, ,,ὧν σὺ τὴν χρόην σκώπτεις,
ων σύνεγγυς ἵπταμαί τε καὶ κράζω.
' ὡς ἀλέκτωρ ταῖσδε ταῖς καταχρύσοις
ὶ πτερύσσῃ" φησίν, οὐδ' ἄνω φαίνῃ."
υμαστὸς εἶναι σὺν τρίβωνι βουλοίμην,
ἀδόξως πλουσίᾳ σὺν ἐσθῆτι.

ΑΡΧΗ ΤΟΥ Θ.

66.

(*ΑΝΘΡΩΠΟΣ ΣΥΝ ΔΥΣΙ ΠΗΡΑΙΣ.*)

Θεῶν Προμηθεὺς ἦν τις, ἀλλὰ τῶν πρώτων.
τοῦτον πλάσασθαί φασι δεσπότην ζώων
ἄνθρωπον ἐκ γῆς· ἐκ δὲ τοῦ δύω πήρας
κρεμάσαι φέροντά φασι τῶν ἐν ἀνθρώποις
κακῶν γεμούσας, τὴν πρόσω μὲν ὀθνείων,
ἰδίων δὲ τὴν ὄπισθεν, ἥτις ἦν μείζων.
διό μοι δοκοῦσι συμφορὰς μὲν ἀλλήλων
βλέπειν ἀκριβῶς, ἀγνοεῖν δὲ τὰς οἴκοι.

67.

(ΟΝΑΓΡΟΣ ΚΑΙ ΛΕΩΝ.)

Θήρης ὄναγρος καὶ λέων ἐκοινώνουν,
ἀλκῇ μὲν ὁ λέων, ὁ δ᾽ ὄνος ἦν ποσὶν κρείσσων.
ἐπεὶ δὲ λείαν εἶχον ἄφθονον ζώων,
ὁ λέων μερίζει καὶ τίθησι τρεῖς μοίρας,
καὶ „Τὴν μὲν αὐτὸς“ φησί „λήψομαι πρῶτος·
„βασιλεὺς γάρ εἰμι· λήψομαι δὲ κἀκείνην,
„ὡς ἐξ ἴσου κοινωνός· ἡ τρίτη δ᾽ αὕτη
„κακόν τι δώσει μὴ θέλοντί σοι φεύγειν.“
Μέτρει σεαυτόν· πρᾶγμα μηδὲν ἀνθρώπῳ
δυνατωτέρῳ σύναπτε, μηδὲ κοινώνει.

68.

(ΑΠΟΛΛΩΝ ΚΑΙ ΖΕΥΣ.)

Θεοῖς Ἀπόλλων ἔλεγε μακρὰ τοξεύων·
„Οὐκ ἂν βάλοι τις πλεῖον οὐδὲ τοξεύσει.“
ὁ Ζεὺς δὲ παίζων ἠρίδαινε τῷ Φοίβῳ.
Ἑρμῆς δ᾽ ἔσειεν Ἄρεος ἐν κυνῇ κλήρους.

ϑ' ὁ Φοῖβος χρυσέην τε κυκλώσας
ευρήν, ὀξέως ἀφεὶς πρῶτος,
; ἔπηξεν ἐντὸς Ἑσπέρου κήπων.
δὲ διαβὰς τωὐτὸ μέτρον εἱστήκει,
ιῦ βάλω, παῖ;" φησίν· οὐκ ἔχω χώραν."
ε νίκην ἔλαβε μηδὲ τοξεύσας.

ἔστι τινὰ καὶ κόπον χωρὶς νίκην ἄρασθαι, σοφῶς τοῖς
ι κεχρημένον.

69.

(ΛΑΓΩΟΣ ΚΑΙ ΚΥΩΝ.)

λαγωὸν δασύποδ' ἐξαναστήσας
ϑίωκεν, οὐκ ἄπειρος ἀγρεύειν·
ϑ' ἐλείφϑη. καί τις αἰπόλος σκώπτων
ίκος σου" φησὶν „εὑρέϑη ϑάσσων."
ιεν· „Ἄλλως ἄλλον ἁρπάσαι σπεύδων
τις, ἄλλως δ' αὐτὸν ἐκ κακοῦ σώζων."

70.

(ΘΕΩΝ ΓΑΜΟΙ.)

αμούντων, ὡς ἕκαστος ἐξεύχϑη,
ἐφ' ἅπασι Πόλεμος ἐσχάτῳ κλήρῳ.
ϑὲ γήμας, ἣν μόνην κατειλήφει,
περισσῶς, ὡς λέγουσιν, ἠράσϑη·
ϑὲ ταύτῃ πανταχοῦ βαδιζούσῃ.
γοῦν ἔϑνη που, μὴ πόλεις τὰς ἀνϑρώπων
ιετέλϑοι προσγελῶσα τοῖς δήμοις,
τ' αὐτὴν πόλεμος εὐϑέως ἥξει.

ΑΡΧΗ ΤΟΥ Ι.

71.

(*ΓΕΩΡΓΟΣ ΚΑΙ ΘΑΛΑΣΣΑ.*)

Ἰδὼν γεωργὸς νῆα ναυτίλων πλήρη
βάπτουσαν ἤδη κῦμα κυρτὸν ἐκ πρῴρης
„Ὦ πέλαγος“ εἶπεν, „εἴθε μήποτ' ἐπλεύσθης,
„ἀνηλεὲς στοιχεῖον, ἐχθρὸν ἀνθρώποις.“
ἤκουσε δ' ἡ θάλασσα καὶ γυναικείην
λαβοῦσα φωνὴν εἶπε· „Μή με βλασφήμει·
„ἐγὼ γὰρ ὑμῖν οὐδὲν αἰτίη τούτων,
„ἄνεμοι δὲ πάντως, ὧν ἐγὼ μέση κεῖμαι.
„τούτων δὲ χωρὶς ἂν ἴδῃς με καὶ πλεύσῃς,
„ἐρεῖς με τῆς σῆς ἠπιωτέρην γαίης.“
Ὅτι πολλὰ χρηστὰ πράγμαθ' αἱ κακαὶ χρήσεις
τρέπουσιν εἰς τὸ χεῖρον, ὡς δοκεῖν φαῦλα.

Ὁ μῦθος οὗτος ἐλέγχει ἐκείνους, οἵ τινες διαβολαῖς πρὸς τοὺς δυνάστας βλάπτειν πέφυκαν τοὺς πέλας, οἳ παραπλήσιοι εἰσιν ἀνέμοις χειμερίοις.

72.

(*ΟΡΝΕΙΣ ΚΑΙ ΚΟΛΟΙΟΣ.*)

Ἶρίς ποτ' οὐρανοῖο πορφυρῆ κῆρυξ
πτηνοῖσι κάλλους εἶπεν ἐν θεῶν οἴκοις
ἀγῶνα κεῖσθαι· πᾶσι δ' εὐθὺς ἠκούσθη,
καὶ πάντα θείων ἔσχεν ἵμερον δώρων.
ἔσταζε πέτρης αἰγὶ δυσβάτου κρήνη,
καὶ θερινὸν ὕδωρ καὶ διαυγὲς εἱστήκει,
πάντων δ' ἐπ' αὐτὸ φῦλον ἦλθεν ὀρνίθων,
πρόσωπα δ' αὐτῶν ἐξέλουε καὶ κνήμας,
ἔσειε ταρσούς, ἐκτένιζε τὰς χαίτας.
ἦλθεν δ' ἐκείνην καὶ κολοιὸς εἰς κρήνην,
γέρων κορώνης υἱός· ἄλλο δ' ἐξ ἄλλου

τερὸν καθύγρων ἐντὸς ἁρμόσας ὤμων,
όνος τὰ πάντων ποικίλως ἐκοσμήθη,
αὶ πρὸς θεοὺς ἤϊξεν αἰετοῦ κρείσσων.
Ζεὺς δ' ἐθάμβει καὶ παρεῖχε τὴν νίκην,
ἰ μὴ χελιδὼν αὐτόν, ὡς Ἀθηναία,
ἤλεγξεν, ἑλκύσασα τὸ πτερὸν πρώτη.
ὁ δ' εἶπεν αὐτῇ· „Μή με συκοφαντήσῃς."
τὸν δ' ἄρα τρυγὼν ἐσπάραττε καὶ κίχλα,
καὶ κίσσα, καὶ κορυδαλλὸς οὖν τάφοις σπίζων,
χὠ νηπίων εὔθηρος ὀρνέων ἴρηξ,
τά τ' ἄλλ' ὁμοίως· καὶ κολοιὸς ἐγνώσθη.
Ὦ παῖ, σεαυτὸν κόσμον οἰκεῖον κόσμει·
ξένοις γὰρ ἐμπρέπων στερηθήσῃ τούτων.

Ὅτι οἱ νόθον καὶ ἐπείσακτον ἑαυτοῖς περιθέντες κόσμον ἀλλοτρίῳ τε κάλλει σεμνυνόμενοι, εἴ ποτε τοῦ τοιούτου γυμνωθεῖεν, γέλως λοιπὸν τοῖς πρὶν ἀγνοοῦσιν ὁρῶνται.

73.

(ΙΚΤΙΝΟΣ.)

Ἴκτινος ἄλλην ὀξέην εἶχε κλαγγήν·
ἵππου δ' ἀκούσας χρεμετίσαντος εὐφώνως,
μιμούμενος τὸν ἵππον, οὔτε τὴν κρείττω
φωνὴν θελήσας ἔσχεν, οὔτε τὴν πρώτην.

Ὅτι οἱ τῶν ἀδυνάτων ἐρῶντες ἔσθ' ὅτε καὶ τῶν μετὰ χεῖρας ἀστοχοῦσιν.

74.

(ΑΝΘΡΩΠΟΣ, ΙΠΠΟΣ, ΒΟΥΣ ΚΑΙ ΚΥΩΝ.)

Ἵππος τε καὶ βοῦς καὶ κύων ὑπὸ ψύχους
κάμνοντες ἦλθον οἰκίην ἐς ἀνθρώπου.
κἀκεῖνος αὐτοῖς τὰς θύρας ἀναπλώσας
παρῆγεν ἔνδον, καὶ παρ' ἑστίῃ θάλψας
πυρὸς γεμούσῃ παρετίθει τι τῶν ὄντων,

κριθὰς μὲν ἵππῳ, λάθυρα δ' ἐργάτῃ ταύρῳ·
ὁ κύων γὰρ αὐτῷ συντράπεζος εἱστήκει.
ξενίας δ' ἀμοιβὴν ἀντέδωκαν ἀνθρώπῳ,
μερίσαντες αὐτῷ τῶν ἐτῶν, ἀφ' ὧν ἔζων·
ὁ μὲν ἵππος εὐθύ· διόπερ ἐν χρόνοις πρώτοις
ἕκαστος ἡμῶν γαῦρός ἐστι τὴν γνώμην·
ὁ δὲ βοῦς μετ' αὐτόν· διόπερ εἰς μέσους ἥκων
μοχθεῖ φίλεργός τ' ἐστὶν ὄλβον ἀθροίζων·
ὁ κύων δ' ἔδωκε, φασί, τοὺς τελευταίους.
διὸ δυσκολαίνει, Βράγχε, πᾶς ὁ γηράσας
καὶ τὸν διδόντα τὴν τροφὴν μόνον σαίνει,
ἀεὶ δ' ὑλακτεῖ καὶ ξένοισιν οὐ χαίρει.

Διαβολὴν ὁ μῦθος ἔχει ἀνδρῶν ἐκείνων, τῶν μηδεμ τοῖς ξένοις πρόνοιαν ποιουμένων, εἰς μόνους δὲ τοὺς οἰκει τὴν στοργὴν περιιστώντων, ἀπὸ τῆς τοῦ κυνὸς ὑποδείξεως.

75.

(*ΙΑΤΡΟΣ ΑΤΕΧΝΟΣ.*)

Ἰατρὸς ἦν ἄτεχνος. οὗτος ἀρρώστῳ
πάντων λεγόντων· „Μὴ δέθιχδι, σωθήσῃ·
„πάθος μέν ἐστι χρόνιον, ἀλλ' ἔσῃ ῥάων.“
[*ὁ δ' ἀτεχνὴς ἰατρὸς εἶπεν εἰσβαίνων·*]
„Οὐκ ἐξαπατῶ σε“ φησίν, „οὐδ' ἐνεδρεύω·
„ἕτοιμα δεῖ σε πάντ' ἔχειν· ἀποθνήσκεις·
„τὴν αὔριον γὰρ τὸ μακρὸν οὐχ ὑπερβήσῃ.“
ταῦτ' εἶπε, καὶ τὸ λοιπὸν οὐκέτ' εἰσῄει.
χρόνῳ δ' ἐκεῖνος ἐκ νόσων ἀνασφήλας
προῆλθεν ὠχρός, τοῖς ποσὶν μόλις βαίνων.
ὁ δ' ἰατρὸς αὐτῷ „Χαῖρ'“ ἔφη συναντήσας,
καὶ πῶς ἔχουσιν οἱ κάτω διηρώτα.
κἀκεῖνος εἶπεν· „Ἠρεμοῦσι, τῆς Λήθης
„πιόντες. ἡ Κόρη δὲ χὠ μέγας Πλούτων



πρῴην ἰατροῖς δεινὰ πᾶσιν ἠπείλουν
ἐπὶ τῷ θεραπεύειν τοὺς νοσοῦντας ἀνθρώπους,
ἀνέγραφον δὲ πάντας· ἐν δὲ τοῖς πρώτοις
καὶ σὲ γράφειν ἔμελλον· ἀλλ' ἐγὼ δείσας
εὐθὺς προσῆλθον ἡψάμην τε τῶν σκήπτρων
κἀπώμοσ' αὐτοῖς, ὅτι σὺ ταῖς ἀληθείαις
ἰατρὸς οὐκ εἶ καὶ μάτην διεβλήθης."

Ὁ μῦθος οὗτος ῥηθήσεται πρὸς τοὺς κενὸν ὄνομα ἐπὶ ράγματί τινι κεκτημένους, τὴν δὲ τούτου πεῖραν παντελῶς ὐκ ἔχοντας.

76.

(ΙΠΠΕΥΣ ΚΑΙ ΙΠΠΟΣ.)

ππεὺς τὸν ἵππον, ἄχρι μὲν συνειστήκει
πόλεμος, ἐκρίθιζε κἄτρεφεν χόρτῳ,
ιαραστάτην γενναῖον ἐν μάχαις κρίνων·
πεὶ δ' ἐπαύσατ', ἦν δὲ λοιπὸν εἰρήνη,
ιαὶ μισθὸν ἱππεὺς οὐκέτ' εἶχεν ἐκ δήμου,
ότ' ἐκεῖνος ἵππος πολλάκις μὲν ἐξ ὕλης
ιορμοὺς παχεῖς κατῆγεν εἰς πόλιν βαίνων,
ιισθῷ δὲ φόρτον ἔφερεν ἄλλοτ' ἀλλοῖον,
ὸ πνεῦμα σῴζων ἐπ' ἀχύροισι δυστήνοις,
ιάγην τε νώτοις ἔφερεν οὐκέθ' ἱππείην.
ὸς δ' αὖ πρὸ τειχῶν πόλεμος ἄλλος ἠκούσθη,
ιάλπιγξ τ' ἐκέλευε πᾶσαν ἀσπίδα σμήχειν,
ππους τε κοσμεῖν καὶ σίδηρον ὀξύνειν,
ιἀκεῖνος αὖ τὸν ἵππον ἐγχαλινώσας
ὁ δεσπότης παρῆγεν, ὡς ἐφιππεύσων.
ὁ δ' ὀκλάσας ἔπιπτεν οὐκέτ' ἰσχύων,
„Ἔντασσε πεζοῖς σαυτὸν" εἶπεν „ὁπλίταις·
„σὺ γάρ μ' ἀφ' ἵππων εἰς ὄνους μεταστήσας
„πῶς αὖθις ἵππον ἐξ ὄνου με ποιήσεις;"

Μηδαμῶς τοῦ παρόντος δεῖν ἡμᾶς ἐπιμελεῖσθαι μόνον ὁ

μῦθος διδάσκει, ἀλλὰ καὶ τοῦ μέλλοντος προνοεῖσθαι. τὸ γὰρ μὴ οὕτως γινόμενον πολλοῖς πολλάκις οὐ τὴν τυχοῦσαν ἤγαγε βλάβην.

77.

(*ΚΟΡΑΞ ΚΑΙ ΑΛΩΠΗΞ.*)

Κόραξ δεδηχὼς στόματι τυρὸν εἱστήκει·
τυροῦ δ' ἀλώπηξ ἰσχανῶσα κερδῴη
μύθῳ τὸν ὄρνιν ἠπάτησε τοιούτῳ·
„Κόραξ, καλαί σοι πτέρυγες, ὀξέη γλήνη,
„θηητὸς αὐχήν· στέρνον αἰετοῦ φαίνεις·
„ὄνυξι πάντων θηρίων κατισχύεις·
„ὁ τοῖος ὄρνις κωφὸς ἐσσὶ κοὐ κρώζεις.“
κόραξ δ' ἐπαίνῳ καρδίην ἐχαυνώθη,
στόματος δὲ τυρὸν ἐκβαλὼν ἐκεκράγει.
τὸν δ' ἡ σοφὴ λαβοῦσα κερτόμῳ γλώσσῃ
„οὐκ ἦσθ' ἄφωνος“ εἶπεν, „ἀλλὰ φωνήεις.
„ἔχεις, κόραξ, ἅπαντα· νοῦς δέ σοι λείπει.“

Ὁ μῦθος διδάσκει μηδαμῶς ἄνθρωπον ἐπαίνοις ἐξαπατᾶσθαι· ζημίαι γὰρ ἐντεῦθεν καὶ ἀτιμίαι εἰώθασι γίνεσθαι.

78.

(*ΚΟΡΑΞ ΝΟΣΩΝ.*)

Κόραξ νοσήσας εἶπε μητρὶ κλαιούσῃ·
„Μὴ κλαῖε, μῆτερ· ἀλλὰ τοῖς θεοῖς εὔχου
„νόσου με δεινῆς καὶ πόνων ἀνασφῆλαι.“
„Καὶ τίς σε“ φησί „τῶν θεῶν, τέκνον, σώσει;
„τίνος γὰρ ὑπὸ σοῦ βωμὸς οὐκ ἐσυλήθη;“

Ὅτι τοῖς ἀμεταμέλητα, φησίν, εἰς θεὸν πλημμελοῦσιν ἀνωφελεῖς γίγνονται αἱ ὑπὲρ αὐτῶν δεήσεις.



79.

(*ΚΥΩΝ ΚΑΙ ΣΚΙΑ.*)

κύων ἔκλεψεν ἐκ μαγειρείου·
'πέρησε ποταμόν· ἐν δὲ τῷ ῥείθρῳ
:οῦ κρέως ἰδοῦσα τὴν σκιὴν μείζω,
ας ἀφῆκε, τῇ σκιῇ δ' ἐφωρμήθη.
ὔτ' ἐκείνην εὗρεν, οὔθ' ὃ βεβλήκει,
ία δ' ὀπίσω τὸν πόρον διεξῄει.
; ἀβέβαιος παντὸς ἀνδρὸς ἀπλήστου
ματαίαις πραγμάτων ἀναλοῦται.

80.

(*ΚΑΜΗΛΟΣ.*)

ον ἠνάγκαζε δεσπότης πίνων
θ' ὑπ' αὐλοῖς κυμβάλοις τε χαλκείοις.
ῖπ'· „Ἐμοὶ γένοιτο κἂν ὁδῷ βαίνειν
γέλωτος, μή τι κἂν χορῷ παίζειν."

ιίρρησιν ὁ λόγος ἔχει παρὰ τῶν σωφρόνως ζῆν αἱρουμέ-
ὸς τοὺς ἐν βίῳ κενὰ ἐπινοουμένους.

81.

(*ΑΛΩΠΗΞ ΚΑΙ ΠΙΘΗΚΟΣ.*)

: πίθηκος εἶπεν· „Ἣν ὁρᾷς στήλην,
ιατρῷά τ' ἐστὶ κἄτι παππῴη."
πιθήκῳ φησίν· „Ὡς θέλεις ψεύδου,
;ον οὐκ ἔχουσα τῆς ἀληθείης."
ιοῦ πρὸς ἀνδρός ἐστι μὴ φεύγειν ψεῦδος,
'θάνειν ψευδόμενος εὐχερῶς μέλλῃ.

τως οἱ λίαν ψευδολόγοι τότε μάλιστα καταλαζονεύον-
τοὺς ἐλέγχους κατ' ὄψιν οὐκ ἔχουσι.

82.

(ΛΕΩΝ ΚΑΙ ΑΛΩΠΗΞ.)

Κοιμωμένου λέοντος ἀγρίης χαίτης
διέδραμεν μῦς· ὁ δὲ λέων ἐθυμώθη
φρίξας δὲ χαίτην ἔθορε φωλάδος κοίτης.
κερδὼ δ' ἐπεχλεύαζεν, ὡς ἐκινήθη
πρὸς μῦν ὁ πάντων θηρίων θεμιστεύων.
ὁ δ' „Οὐχὶ τὸν μῦν“ εἶπεν, „ὦ παλαμναίη,
„δέδοικα, μή μου τὴν δορὴν κνίσῃ φεύγων·
„χαίτην δ' ἔμελλε τὴν ἐμὴν καταισχύνειν.
[„κακὴν δὲ μελέτην ἐπ' ἐμὲ τῆς ὁδοῦ τρίβει.“]
Ἀρχόμενον ἄρτι τὸ θρασὺ τῶν ὑβριζόντων,
κἂν μικρὸν ᾖ, κώλυε, μηδὲ συγχώρει
εὐκαταφρόνητον σαυτὸν εἶναι τοῖς φαύλοις.

Ὁ λόγος διδάσκει ὅτι οὐδὲ ὑπὸ τῶν μετρίων δεῖ ἡμᾶς καταφρονεῖσθαι διὰ τὸ μὴ ἐντεῦθεν συνήθειαν κακὴν γενηθῆναι.

83.

(ΙΠΠΟΣ ΚΑΙ ΑΝΘΡΩΠΟΣ.)

Κριθάς τις ἵππου πᾶσαν ἡμέραν πίνων
* * * * * *
ἔτριβεν, ἐκτένιζεν ἡμέρῃ πάσῃ·
ὁ δ' εἶπεν· „Εἰ θέλεις με ταῖς ἀληθείαις
„καλὸν γενέσθαι, τὸ τρέφον με μὴ πώλει.“
Τῶν καιρίων δεῖ τὸν φιλοῦντα φροντίζειν
καὶ συμφερόντων· καὶ γὰρ οὐδὲ ἓν κόσμος
ὀνίνησι τὸν ἀποροῦντα τῶν ἀναγκαίων.

Ὁ παρὼν ῥηθήσεται λόγος πρὸς τοὺς ἀντὶ ἀναγκαίων πραγμάτων τοῖς λόγοις μόνοις τοὺς πέλας ἐξαπατῶντας.



84.

(ΚΩΝΩΨ ΚΑΙ ΤΑΥΡΟΣ.)

ἐπιπτὰς κέρατι καμπύλῳ ταύρου
τ' ἐπισχὼν εἶπε ταῦτα βομβήσας·
ι βαρύνω τὸν τένοντα καὶ κλίνω,
ιῦμ' ἀπελθὼν ποταμίας ἐπ' αἰγείρου."
ὐ μέλει μοι" φησίν, „οὔτ' ἐὰν μείνῃς,
ἀπέλθῃς· οὐδ' ὅτ' ἦλθες ἐγνώκειν."
ος ὅστις οὐδὲν ὢν κατ' ἀνθρώπων
ιττόνων θρασύνεθ' ὥς τις ὢν σφόδρα.

γορίαν ὁ λόγος περιέχει ἀνδρὸς εὐτελοῦς καὶ λίαν
, ὑπολήψεις δὲ μεγάλας περὶ ἑαυτοῦ κεκτημένου.

85.

(ΚΥΝΕΣ ΚΑΙ ΛΥΚΟΙ.)

οτ' ἔχθρα καὶ λύκοις συνειστήκει,
Ἀχαιὸς ᾑρέθη κυνῶν δήμου
ὸς εἶναι, καὶ μάχης ἐπιστήμων
, ἐβράδυνεν· οἱ δ' ἐπηπείλουν,
ιοάξῃ τὴν μάχην ἐνεδρεύσει.
ατ'" εἶπεν „οὐ χάριν διατρίβω,
ὐλαβοῦμαι· χρὴ δ' ἀεὶ προβουλεύειν.
ν πολεμίων τὸ γένος ὢν ὁρῶ πάντων
ν· ἡμῶν δ' ἦλθον οἱ μὲν ἐκ Κρήτης,
κ Μολοσσῶν εἰσιν, οἱ δ' Ἀκαρνάνων,
δὲ Δόλοπες· οἱ δὲ Κύπρον ἢ Θρᾴκην
ιν· ἄλλοι δ' ἄλλοθεν. τί μηκύνω;
μα δ' ἡμῖν οὐχ ἕν ἐστιν ὡς τούτοις.
ιὲν ἡμῶν μέλανες, οἱ δὲ τεφρώδεις·
ὲ λαμπροὶ καὶ διάργεμοι στήθη,
δὲ λευκοί· πῶς ἂν οὖν δυνηθείην
εμον ἄρχειν" εἶπε „τῶν ἀσυμφώνων

„πρὸς τοὺς ὅμοια πάντ' ἔχοντας ἀλλήλοις;"
Συμφωνία μέγιστον ἀγαθὸν ἀνθρώποις·
τὸ δὲ στασιάζον ἀσθενές τε καὶ δοῦλον.

86.

(ΑΛΩΠΗΞ ΟΓΚΩΘΕΙΣΑ.)

Κοίλωμα ῥίζης φηγὸς εἶχεν ἀρχαίη.
ἐν τῇ δ' ἔκειτο ῥωγὰς αἰπόλου πήρη,
ἄρτων ἑώλων πᾶσα καὶ κρεῶν πλήρης·
ταύτην ἀλώπηξ εἰσδραμοῦσα τὴν πήρην
ἐξέφαγε· γαστὴρ δ', ὥσπερ εἰκός, ὠγκώθη,
στενῆς δὲ τρώγλης οὐκέτ' εἶχεν ἐκδῦναι.
ἑτέρα δ' ἀλώπηξ, ὡς ἐπῆλθε κλαιούσῃ,
σκώπτουσα „Μεῖνον" εἶπεν, „ἄχρι πεινήσῃς·
„οὐδ' ἐξελεύσῃ πρότερον, ἄχρι τοιαύτην
„τὴν γαστέρα σχῇς, ἡλίκην ὅτ' εἰσῄεις."

Ὁ μῦθος παραινεῖ μηδαμῶς σπεύδειν τινὰ πρὸς πλεο-ξίαν τοῦ πέλας, γινώσκων ὅτι τὰ χαλεπὰ τῶν πραγμάτω χρόνος διαλύει.

87.

(ΚΥΩΝ ΚΑΙ ΛΑΓΩΟΣ.)

Κύων λαγωὸν ἐξ ὄρους ἀναστήσας
ἐδίωκε δάκνων αὐτὸν εἰ κατειλήφει·
μεταστραφεὶς δ' ἔσαινεν ὡς φίλῳ ψαύων.
ὁ λαγωὸς „Ἁπλοῦν" δ' εἶπε „θηρίον γίνου·
„φίλος εἶ; τί δάκνεις; ἐχθρὸς εἶ; τί οὖν σαίνεις;
Ἀμφίβολος οὗτός ἐστι νοῦς ἐν ἀνθρώποις,
οἷς οὔτ' ἀπιστεῖν ἔχομεν, οὔτε πιστεύειν.



88.

(*ΚΟΡΥΔΑΛΛΟΣ ΚΑΙ ΝΕΟΣΣΟΙ.*)

ορυδαλλὸς ἦν τις ἐν χλόῃ νεοσσεύων
ἱ χαραδριῷ τε πρὸς τὸν ὄρθρον ἀντᾴδων·
ὶ παῖδας εἶχε ληΐου κόμῃ θρέψας
φῶντας ἤδη καὶ πτεροῖσιν ἀκμαίους.
δὲ τῆς ἀρούρης δεσπότης ἐποπτεύων,
; ξηρὸν εἶδε τὸ θέρος, εἶπε· „Νῦν ὥρη
τάντας καλεῖν μοι τοὺς φίλους, ἵν᾽ ἀμήσω.“
αί τις κορυδαλλοῦ τῶν λοφηφόρων παίδων
κουσεν αὐτοῦ τῷ τε πατρὶ μηνύει,
κοπεῖν κελεύων ποῦ σφέας μεταστήσει.
δ᾽ εἶπεν· „Οὔπω καιρός ἐστι νῦν φεύγειν·
ὃς γὰρ φίλοις πέποιθεν, οὐκ ἄγαν σπεύδει.“
ὡς δ᾽ αὖτις ἦλθεν, ἡλίου δ᾽ ὑπ᾽ ἀκτίνων
ἤδη ῥέοντα τὸν στάχυν θεωρήσας,
ισθὸν μὲν ἀμητῆρσιν αὔριον πέμψειν,
ισθὸν δὲ πᾶσι δραγματηφόροις δώσειν
ἶπεν, κορυδαλλὸς παισὶ νηπίοις· „Ὄντως
„νῦν ἐστιν ὥρη, παῖδες, ἀλλαχοῦ φεύγειν,
„ὅτ᾽ αὐτὸς αὑτῷ κοὐ φίλοισι πιστεύει.“

Ὁ μῦθος διδάσκει ἡμᾶς ἐπιμελεῖσθαι τῶν οἰκείων, ὅση ὑναμις, καὶ μὴ καταφρονεῖν, θαρροῦντας ταῖς τῶν φίλων υνδρομαῖς.

ΑΡΧΗ ΤΟΥ Λ.

89.

(*ΛΥΚΟΣ ΚΑΙ ΑΡΝΙΟΝ.*)

ύκος πότ᾽ ἄρνα πεπλανημένον ποίμνης
δὼν βίᾳ μὲν οὐκ ἐπῆλθεν ἁρπάξων,

ἔγκλημα δ' ἔχθρας εὐπρόσωπον ἐζήτει.
„Σὺ δή με πέρυσι μικρὸς ὢν ἐβλασφήμεις."
„Ἐγὼ οὐ περυσινός εἰμ', ἐπ' ἔτος ἐγεννήθην."
„Οὐκοῦν σὺ τὴν ἄρουραν, ἣν ἔχω, κείρεις."
„Οὔπω τι χλωρὸν ἔφαγον, οὐδ' ἐβοσκήθην."
„Οὐδ' ἆρα πηγὴν ἐκπέπωκας, ἣν πίνω;"
„Θηλὴ μεθύσκει μέχρι νῦν με μητρῴα."
τότε δὴ τὸν ἄρνα συλλαβών τε καὶ τρώγων
„Ἀλλ' οὐκ ἄδειπνον" εἶπε „τὸν λύκον θήσεις,
„κἂν εὐχερῶς μου πᾶσαν αἰτίαν λύσῃς."

Ὅτι τοὺς φύσει πονηροὺς καὶ ἀδίκους οὐδ' εὔλογος ἀπολογία πείθει.

90.

(*ΛΕΩΝ ΚΑΙ ΝΕΒΡΟΣ.*)

Λέων ἐλύσσα· τὸν δὲ νεβρὸς ἐξ ὕλης
ἰδὼν ἔφησεν· „Ἡμέων ταλαιπώρων.
„τί γὰρ μεμηνὼς οὗτος οὐχὶ ποιήσει,
„ὃς ἦν φορητὸς οὐδὲ σωφρονῶν ἡμιν;"

Πρὸς ἄνδρα φύσει ὀργίλον καὶ αἱμοβόρον ἐξουσίαν ἀρχῆς κατὰ τῶν ὑπηκόων λαμβάνοντα.

91.

(*ΤΑΥΡΟΣ ΚΑΙ ΤΡΑΓΟΣ.*)

Λέοντα φεύγων ταῦρος εἰς ἐρημαίην
σπήλυγγα κατέδυ ποιμένων ὀρειφοίτων,
ὅπου τράγος τις χωρὶς αἰπόλου μείνας
τὸν ταῦρον ἐμβὰς τοῖς κέρασιν ἐξώθει.
ὁ δ' εἶπεν· „Οὐ σέ, τὸν λέοντα δ' ἐκκλίνω.
„ἀνέξομαί σου μικρὰ τῆς ἐπηρείης·

παρελθέτω με, καὶ τότε γνώσῃ,
ν τράγου μεταξὺ καὶ πόσον ταύρου.“

ὸς τοὺς τοῖς δυνατωτέροις ἐπεμβαίνοντας δι' ἐπικει-
ιὐτοῖς συμφοράν.

92.

(ΚΥΝΗΓΟΣ ΔΕΙΛΟΣ.)

ί τις κυνηγὸς οὐχὶ τολμήεις
ν ὀρέων ἐν βαθυσκίοις ὕλαις·
ιῳ δὲ μακρᾶς ἐγγὺς ἐντυχὼν πεύκης
ιὸς σὲ Νυμφῶν,“ εἶπεν, „ἆρα γινώσκεις
λέοντος, ὅστις ὧδε φωλεύει;“
ος εἶπεν· „Ἀλλὰ σὺν θεῷ βαίνεις·
ν γὰρ ἤδη τὸν λέοντά σοι δείξω.“
χριήσας γομφίους τε συγκρούων
ιοι χαρίζου“ φησί „πλεῖον οὐ χρῄζω·
ἴχνος εἰπέ· τὸν λέοντα μὴ δείξῃς.“

ῦθος ἐλέγχει [ἐκείνους] τοὺς λόγοις (μὲν) ἀνδρείους
νυμένους, ἔργοις δὲ ἀνικάνους ἀποφαινομένους.

93.

(ΛΥΚΟΙ ΚΑΙ ΠΡΟΒΑΤΑ.)

ν παρῆσαν ἄγγελοί ποτ' εἰς ποίμνην,
φέροντες καὶ βέβαιον εἰρήνην,
λάβωσι τοὺς κύνας πρὸς αἰκίην,
; μάχονται καὶ κοτοῦσιν ἀλλήλοις.
δὲ ποίμνη καὶ τὰ πάντα βληχώδης
ν ἔμελλεν. ἀλλά τις γέρων ἤδη
βαθείῃ φρικὶ μαλλὸν ὀρθώσας
ῆς γε ταύτης“ εἶπε „τῆς μεσιτείης.
ακτος ὑμῖν πῶς ἐγὼ συνοικήσω,

„δι' οὓς νέμεσθαι μηδὲ νῦν ἀκινδύνως
„ἔξεστι, καίτοι τῶν κυνῶν με τηρούντων;"

Οὐδαμῶς ἀκαταλλάκτοις ἐχθροῖς πιστεύειν δεῖ, ὅταν τῆς οἰκείας βούλωνται ἀμελεῖν σωτηρίας, κἂν ὅρκοις τυ τὴν εἰρήνην λαλῶσι.

94.

(ΛΥΚΟΣ ΚΑΙ ΕΡΩΔΙΟΣ.)

Λύκῳ ποτ' ὀστοῦν φάρυγος ἐντὸς ἠρείσθη·
ἐρῳδιῷ δὲ μισθὸν ἄξιον δώσειν
ἔφασκε, τὸν τράχηλον εἰ καθιμήσας
ἀνελκύσειε καὶ πόνων ἄκος δοίη.
ὁ δ' ἑλκύσας τὸν μισθὸν εὐθέως ᾔτει.
κἀκεῖνος αὐτῷ, κάρχαρόν τι μειδήσας,
„Σοὶ μισθὸς ἀρκεῖ" φησί „τῆς ἰατρείας,
„κεφαλὴν λυκείου στόματος ἐξελεῖν σῴην."
Κακοῖς βοηθῶν μισθὸν ἀγαθὸν οὐ λήψῃ·
ἀλλ' ἀρκέσει σοι, μή τι τῶν κακῶν πάσχειν.

Ὅτι πονηρὸς ἀνὴρ εὖ πάσχων εἰς ἀντιδόσεως λόγον πο ται καὶ τὸ μὴ μόνον βλάψαι.

95.

(ΛΕΩΝ ΝΟΣΗΣΑΣ.)

Λέων νοσήσας ἐν φάραγγι πετραίῃ
ἔκειτο νωθρὰ γυῖα γῆς ἔφ' ἁπλώσας·
φίλην δ' ἀλώπεκ' εἶχεν, ᾗ προσωμίλει.
ταύτῃ ποτ' εἶπεν· „Εἰ θέλεις με σὺ ζώειν —
„πεινῶ γὰρ ἐλάφου τῆς ὑπ' ἀγρίαις πεύκαις
„κεῖνον τὸν ὑλήεντα δρυμὸν οἰκούσης·
„καὶ νῦν διώκειν ἔλαφον οὐκέτ' ἰσχύω· —
„σὺ δ' ἂν θελήσῃς, χεῖρας εἰς ἐμὰς ἥξει,
„λόγοισι θηρευθεῖσα σοῖς μελιγλώσσοις."

ϑε κερδώ· τὴν δ' ὑπ' ἀγρίαις ὕλαις
ῦσαν εὗρε μαλϑακῆς ὑπὲρ ποίης·
κυσε δ' αὐτὴν πρῶτον, εἶτα καὶ χαίρειν
ῖπε χρηστῶν τ' ἄγγελος λόγων ἥκειν.
ίων," ἔφασκεν, „οἶσϑας, ἔστι μοι γείτων·
δὲ φαύλως, κἀγγύς ἐστι τοῦ ϑνήσκειν.
ιῦν μετ' αὐτὸν ϑηρίων τυραννήσει,
κοπεῖτο· σῦς μέν ἐστιν ἀγνώμων,
ος δὲ νωϑής, πάρδαλις δὲ ϑυμώδης,
ις δ' ἀλαζὼν καὶ τὸ πᾶν ἐρημαίη.
ιον τυραννεῖν ἀξιωτάτην κρίνει·
ιη μὲν εἶδος, πολλὰ δ' εἰς ἔτη ζώει·
ς δὲ φοβερὸν πᾶσιν ἑρπετοῖς φύει,
ῥοις ὅμοιον κοὐχ ὁποῖα τῶν ταύρων.
ιι λέγω τὰ πολλά; πλὴν ἐκυρώϑης
εις τ' ἀνάσσειν ϑηρίων ὀρειφοίτων.
οὖν γένοιτο τῆς ἀλώπεκος μνήμη,
οινα, τῆς σοι τοῦτο πρῶτον εἰπούσης.
' ἦλϑον. ἀλλὰ χαῖρε, φιλτάτη· σπεύδω
τὸν λέοντα, μὴ πάλαι μι ζητήσῃ·
αι γὰρ ἡμῖν εἰς ἅπαντα συμβούλοις·
ὁ δέ, καὶ σέ, τέκνον, εἴ τι τῆς γραίης
ιλῆς ἀκούεις, ἔπρεπεν παρεδρεύειν
ῦσαν αὐτῷ καὶ πονοῦντα ϑαρσύνειν.
ικρὰ πείϑει τοὺς ἐν ἐσχάταις ὥραις·
ιὶ δ' ἐν ὀφϑαλμοῖσι τῶν τελευτώντων."
τε κερδώ. τῆς δ' ὁ νοῦς ἐχαυνώϑη
ιι ποιητοῖσιν· ἦλϑε δ' εἰς κοίλην
ιγγα ϑηρὸς καὶ τὸ μέλλον οὐκ ᾔδει.
δ' ἀπ' εὐνῆς ἀσκόπως ἐφορμήσας
ι οὖατ' ἐσπάραξεν ἀκραίοις,
ῇ διωχϑείς· τὴν δὲ φύξα δειλαίην

θύρης κατιθὺς ἦγεν εἰς μέσας ὕλας.
κερδὼ δὲ χεῖρας ἐπεκρότησεν ἀλλήλαις,
ἐπεὶ πόνος μάταιος ἐξανηλώθη.
κἀκεῖνος ἐστέναξε τὸ στόμα βρύχων·
ὁμοῦ γὰρ αὐτὸν λιμὸς εἶχε καὶ λύπη.
πάλιν δὲ κερδὼ καθικέτευε φωνήσας,
ἄλλον τιν' εὑρεῖν δεύτερον δόλον θήρης.
ἡ δ' εἶπε κινήσασα βυσσόθεν γνώμην·
„Χαλεπὸν κελεύεις αὖθις, ἀλλ' ὑπουργήσω."
καὶ δὴ κατ' ἴχνος, ὡς σοφὴ κύων, ᾔει,
πλέκουσα τέχνας καὶ πανουργίας πάσας·
ἀεὶ δ' ἕκαστον ποιμένων ἐπηρώτα,
μή πού τις ἔλαφος ᾑματωμένη φεύγει.
τὴν δ' ὥς τις εἶδε, δεικνύων ἂν ὡδήγει,
ἕως ποθ' εὗρεν ἐν κατασκίῳ χώρῳ
δρόμων ἀναψύχουσαν. ἡ δ' ἀναιδείης
ὀφρὺν ἔχουσα καὶ μέτωπον εἱστήκει.
ἐλάφου δὲ φρὶξ ἐπέσχε νῶτα καὶ κνήμας,
χολὴ δ' ἐπέζει καρδίην· ἔφη δ' οὕτως·
[„Σὺ νῦν διώκεις πανταχοῦ με, καὶ φεύγω.]
„ἀλλ', ὦ στύγημα, νῦν μὲν οὐχὶ χαιρήσεις,
„ἤν μοι προσέλθῃς καί τι γρύξαι τολμήσῃς.
„ἄλλοις ἀλωπέκιζε τοῖς ἀπειρήτοις·
„ἄλλους δὲ βασιλεῖς ὑπερέθιζε καὶ ποίει."
τῆς δ' οὐκ ἐτρέφθη θυμός· ἀλλ' ὑποβλήδην
„Οὕτως ἀγεννής" φησί „καὶ φόβου πλήρης
„πέφυκας; οὕτω τοὺς φίλους ὑποπτεύεις;
„ὁ μὲν λέων σοι συμφέροντα βουλεύων
„μέλλων τ' ἐγείρειν τῆς πάροιθε νωθείης
„ἔψαυσεν ὠτός, ὡς πατὴρ ἀποθνήσκων·
„ἔμελλε γάρ σοι πᾶσαν ἐντολὴν δώσειν,
„ἀρχὴν τοσαύτην πῶς λαβοῦσα τηρήσεις.

χ ὑπέστης κνίσμα χειρὸς ἀρρώστου,
ποσπασθεῖσα μᾶλλον ἐτρώθης.
ἐκεῖνος πλεῖον ἢ σὺ θυμοῦται,
στον πειράσας σε καὶ κούφην,
δέ φησι τὸν λύκον καταστήσειν.
νηροῦ δεσπότου· τί ποιήσω;
ιμῖν αἰτίη κακῶν γίνῃ.
ὲ καὶ τὸ λοιπὸν ἴσθι γενναία,
όησο πρόβατον οἷον ἐκ ποίμνης.
άρ σοι φύλλα πάντα καὶ κρῆνας,
οιτο σοὶ μόνῃ με δουλεύειν,
ἐχθρὸν οἶδεν, ἀλλ' ὑπ' εὐνοίης
άντων κυρίαν σε τῶν ζῴων.“
στίλλουσα τὴν ἀχαιΐνην
θεῖν δὶς τὸν αὐτὸν εἰς ᾅδην.
χμης εἰς μυχὸν κατεκλείσθη,
αὐτὸς εἶχε δαῖτα παντοίην,
φύσσων, μυελὸν ὀστέων πίνων
χνα δάπτων· ἡ δ' ἀγωγὸς εἱστήκει
ήρης· καρδίην δὲ νεβρείην
σοῦσαν, ἁρπάσασα λαθραίως·
κέρδος εἶχεν ὧν ἐκεκμήκει.
καστον ἐγκάτων ἀριθμήσας
ἄλλων καρδίην ἐπεζήτει
εὐνήν, πάντα δ' οἶκον ἠρεύνα·
ἐπαιολῶσα, „Ταῖς ἀληθείαις
πάντως“ φησί· „μὴ μάτην ζήτει.
ἔμελλε καρδίην ἔχειν, ἥτις
ρου λέοντος ἦλθεν εἰς οἴκους;“

ις τοῖς προλαβοῦσι κακοῖς μὴ σωφρονισθέντας εἰ-
τα κακὰ διαδέχεται· ἐν ᾧ καὶ ἔλεγχος κατὰ φιλο-

96.

(ΛΥΚΟΣ ΚΑΙ ΑΡΝΕΙΟΣ.)

Λύκος παρῄει θριγκόν, ἔνθεν ἐκκύψας
ἀρνειὸς αὐτὸν ἔλεγε πολλὰ βλασφήμως.
κἀκεῖνος εἶπε τὰς σιαγόνας πρίων·
„Ὁ τόπος μ' ἐλοιδόρησε· μὴ σὺ καυχήσῃ."
Ὁ μῦθος ὀρθῶς πᾶσι τοῦτο μηνύει·
μηδεὶς διὰ καιρὸν ἰσχύων τι γαυρούσθω.

Κατάλληλος ὁ μῦθος τοῖς διὰ περίστασιν καὶ τόπον κ τύχην τῶν δυνατωτέρων κατεπαιρομένοις.

97.

(ΛΕΩΝ ΚΑΙ ΤΑΥΡΟΣ.)

Λέων ποτ' ἐπεβούλευεν ἀγρίῳ ταύρῳ,
καὶ προσποιηθεὶς μητρὶ τῶν θεῶν θύειν,
τὸν ταῦρον ἐλθεῖν ἐπὶ τὸ δεῖπνον ἠρώτα.
κἀκεῖνος ἥξειν εἶπεν, οὐχ ὑποπτεύσας.
ἐλθὼν δὲ καὶ στὰς ἐπὶ θύρας λεοντείους,
ὡς εἶδε θερμοῦ πολλὰ χαλκία πλήρη,
σφαγίδας, μαχαίρας, βουδόρους νεοσμήκτους,
πρὸς τῇ θύρᾳ δὲ μηδὲν ἀλλ' ἢ δεσμώτην
ἀλεκτορίσκον, ᾤχετ' εἰς ὄρος φεύγων.
ἐμέμφεθ' ὁ λέων ὕστερον συναντήσας.
ὁ δ' „Ἦλθον" εἶπε, „καὶ τὸ σύμβολον δώσω·
„οὐκ ἦν ὅμοιον θῦμα τῷ μαγειρείῳ."

Ὁ μῦθος ἡμᾶς ὑπομιμνήσκει, τὸ ἐπιὸν πάντως δει προορῶντας, μηδαμῶς ἀμελεῖν τῆς ἑαυτῶν σωτηρίας.

98.

(ΛΕΩΝ ΜΝΗΣΤΗΡ.)

Λέων ἁλοὺς ἔρωτι παιδὸς ὡραίας
παρὰ πατρὸς ἐμνήστευε· τῷ δ' ὁ πρεσβύτης,

οὐδέν τι δύσνουν οὐδ' ὕπουλον ἐμφήνας,
„Δίδωμι γῆμαι“ φησί „καὶ διδοὺς χαίρω.
„τίς οὐ δυνάστῃ καὶ λέοντι κηδεύσει;
„φρένες δὲ δειλαὶ παρθένων τε καὶ παίδων·
„σὺ δ' ἡλίκους μὲν ὄνυχας, ἡλίκους δ' ἧμιν
„φέρεις ὀδόντας; τίς κόρη σε τολμήσει
„ἀφόβως περιλαβεῖν; τίς δ' ἰδοῦσα μὴ κλαύσῃ;
„πρὸς ταῦτα δὴ σκόπησον, εἰ γάμου χρήζεις,
„μηδ' ἄγριος θήρ, ἀλλὰ νυμφίος γίνου.“
ὁ δὲ πτερωθεὶς τῇ δόσει τε πιστεύσας
ἐξεῖλε τοὺς ὀδόντας, εἶθ' ὑπὸ σμίλης
ἀπωνυχίσθη, τῷ τε πενθερῷ δείξας
τὴν παῖδ' ἀπῄτει. τὸν δ' ἕκαστος ἠλοία,
ῥοπάλῳ τις ἢ λίθῳ τις ἐκ χειρὸς παίων.
ἔκειτο δ' ἀργός, ὥσπερ ὗς ἀποθνήσκων,
γέροντος ἀνδρὸς ποικίλου τε τὴν γνώμην
σοφίῃ διδαχθείς, ὡς ἄμικτον ἀνθρώποις
ἐρᾶν λεόντων ἢ λέοντας ἀνθρώπων.
Αὐτός τις αὑτὸν λανθάνει κακῶς δράσας,
ὧν οὐ πέφυκε μεταλαβεῖν ὅταν σπεύδῃ.

99.

(ΛΕΩΝ ΚΑΙ ΑΕΤΟΣ.)

Λέοντι προσπτὰς αἰετῶν τις ἐξήτει
κοινωνὸς εἶναι· χὠ λέων „Τί κωλύει;“
πρὸς αὐτὸν εἶπεν· „ἀλλ' ἐνέχυρά μοι δώσεις
„τὠκύπτερόν σου μὴ μεθεῖναι τὴν πίστιν·
„πῶς γὰρ φίλῳ σοι μὴ μένοντι πιστεύσω;“

Ὁ μῦθος ἐκδιδάσκει μὴ τάχιστα πᾶσι πιστεύειν, καὶ μάλιστα τοῖς μήπω φίλοις.

100.

(*ΛΥΚΟΣ ΚΑΙ ΚΥΩΝ.*)

Λύκῳ συνήντα πιμελὴς κύων λίαν.
ὁ δ' αὐτὸν ἐξήταζε, ποῦ τραφεὶς οὕτως
μέγας κύων ἐγένετο καὶ λίπους πλήρης.
„Ἄνθρωπος“ εἶπε „δαψιλής με σιτεύει.“
„Ὁ δέ σοι τράχηλος“ εἶπε „πῶς ἐλευκώθη;“
„Κλοιῷ τέτριπται σάρκα τῷ σιδηρείῳ,
„ὃν ὁ τροφεύς μοι περιτέθεικε χαλκεύσας.“
λύκος δ' ἐπ' αὐτῷ καγχάσας „Ἐγὼ τοίνυν
„χαίρειν κελεύω“ φησί „τῇ τροφῇ ταύτῃ,
„δι' ἣν σίδηρος τὸν ἐμὸν αὐχένα τρίψει.

Ὅτι αἰσχρὸν καὶ ἐπονείδιστον τὸ μικρᾶς ἡδονῆς δουλοπρεπῶς ζῆν. [φευκτέον ὁ μῦθος παραινεῖ.]

101.

(*ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.*)

Λύκος τις ἁδρὸς ἐν λύκοις ἐγεννήθη,
λέοντα δ' αὐτὸν ἐπεκάλουν. ὁ δ' ἀγνώμων
τὴν δόξαν οὐκ ἤνεγκε, τῶν δὲ συμφύλων
ἀποστατήσας τοῖς λέουσιν ὡμίλει.
κερδὼ δ' ἐπισκώπτουσα „Μὴ 'κφρενωθείην“
ἔφη „τοσοῦτον, ὡς σὺ νῦν ἐτυφώθης.
„σὺ γὰρ ὡς ἀληθῶς ἐν λύκοις λέων φαίνῃ,
ἐν δ' αὖ λεόντων συγκρίσει λύκος γίνῃ.“

Πρὸς τοὺς ἀπὸ τῶν κολάκων οὐκ ὀρθῇ κρίσει ἐπαινουμένους κἀντεῦθεν μέγα φρονοῦντας, ἔπειτα δὲ ἐλεγχομένους ἑαυτοὺς ἐπιγινώσκοντας.

102.

(*ΛΕΩΝ ΒΑΣΙΛΕΥΩΝ ΔΙΚΑΙΩΣ.*)

Λέων τις ἐβασίλευεν, οὐχὶ θυμώδης
οὐδ' ὠμὸς οὐδὲ πάντα τῇ βίῃ χαίρων,

πρᾶος δὲ καὶ δίκαιος ὥς τις ἀνθρώπων.
ἐπὶ τῆς ἐκείνου, φασὶ δή, δυναστείας
τῶν ἀγρίων ἀγυρμὸς ἐγεγόνει ζώων,
δίκας τε δοῦναι καὶ λαβεῖν παρ' ἀλλήλων.
τὰ ζῷα πάντα δ' ὡς ὑπέσχον εὐθύνας,
λύκος μὲν ἀρνί, πάρδαλις δ' ὑπ' αἰγάγρῳ,
ἐλάφῳ δὲ τίγρις, πάντα δ' εἶχεν εἰρήνην,
ὁ πτὼξ λαγωὸς εἶπεν· „Ἀλλ' ἐγὼ ταύτην
„τὴν ἡμέραν ἀεί ποτ' ηὐχόμην, ἥτις
„καὶ τοῖς βιαίοις φοβερὰ τἀσθενῆ θήσει."

Ἔπαινον ὁ μῦθος ἔχει κριτῇ πρᾴῳ καὶ λίαν δικαίῳ.

103.

(ΛΕΩΝ ΝΟΣΩΝ ΚΑΙ ΘΗΡΙΑ.)

Λέων ἐπ' ἄγρην οὐκέτι σθένων βαίνειν,
πολλῷ γὰρ ἤδη τῷ χρόνῳ γεγηράκει,
κοίλης ἔσω σπήλυγγος ὡς νόσῳ κάμνων
ἔκειτο, δολίως οὐκ ἀληθὲς ἀσθμαίνων,
φωνὴν βαρεῖαν προσποιητὰ λεπτύνων.
θηρῶν δ' ἐπ' αὐλὰς ἦλθεν ἄγγελος φήμη,
καὶ πάντες ἤλγουν, ὡς λέοντος ἀρρώστου·
ἐπισκοπήσων δ' εἷς ἕκαστος εἰσήει.
τούτους ἐφεξῆς λαμβάνων ἀμοχθήτως
κατήσθιεν· γῆρας δὲ λιπαρὸν ηὑρήκει.
σοφὴ δ' ἀλώπηξ ὑπενόησε καὶ πόρρω
σταθεῖσα „Βασιλεῦ, πῶς ἔχεις;" ἐπηρώτα.
κἀκεῖνος εἶπε· „Χαῖρε, φιλτάτη ζώων,
„τί δ' οὐ προσέρχῃ, μακρόθεν δέ με σκέπτῃ;
„δεῦρο, γλυκεῖα, καί με ποικίλοις μύθοις
„παρηγόρησον ἐγγὺς ὄντα τῆς μοίρης."
„Σῴζοιο" φησίν, „εἰ δ' ἄπειμι, συγγνώσῃ·

„πολλῶν γὰρ ἴχνη θηρίων με κωλύει,
„ὧν ἐξιόντων οὐκ ἔχεις ὃ μοι δείξεις."
Μακάριος ὅστις οὐ προλαμβάνει πταίσας,
ἀλλ' αὐτὸς ἄλλων συμφοραῖς ἐπαιδεύθη.

Οὕτω τινῶν οἱ κίνδυνοι διδαχὴ εἶναι ὀφείλει τῆς ἡμῶν σωτηρίας.

104.

(ΚΥΩΝ ΚΩΔΩΝΟΦΟΡΩΝ.)

Λάθρα κύων ἔδακνε· τῷ δὲ χαλκεύσας
ὁ δεσπότης κώδωνα καὶ προσαρτήσας
πρόδηλον εἶναι μακρόθεν πεποιήκει.
ὁ κύων δὲ τὸν κώδωνα δι' ἀγορᾶς σείων
ἠλαζονεύετ'· ἀλλὰ δὴ κύων γραίη
πρὸς αὐτὸν εἶπεν· „Ὦ τάλαν, τί σεμνύνῃ;
„οὐ κόσμον ἀρετῆς τοῦτον, οὐδ' ἐπεικείης,
„σαυτοῦ δ' ἔλεγχον τῆς πονηρίης κρούεις."

Ἔλεγχον ὁ μῦθος ἔχει τῶν οὐ καλῶς μέγα ἐφ' ἑαυτοῖς φρονούντων, ὅταν διὰ κακίαν τι πάθοιεν.

105.

(ΛΥΚΟΣ ΚΑΙ ΛΕΩΝ.)

Λύκος ποτ' ἄρας πρόβατον ἐκ μέσης ποίμνης
ἐκόμιζεν οἴκαδ'· ᾧ λέων συναντήσας
ἀπέσπασ' αὐτό. καὶ λύκος, σταθεὶς πόρρω,
„Ἀδίκως ἀφείλω τῶν ἐμῶν" ἐκεκράγει.
λέων δὲ τερφθεὶς εἶπε τὸν λύκον σκώπτων·
„Σοὶ γὰρ δικαίως ὑπὸ φίλων ἐδωρήθη;"

Ὁ μῦθος δικαίως (καὶ) προσφόρως ῥηθήσεται πρὸς ἄνδρας ἀδίκους, ἀλλήλους αἰτιωμένους, ἐπὶ τῷ αὐτῷ πταίσματι κειμένους.

106.

(ΛΕΩΝ ΠΡΑιΟΣ.)

ʼ ποτ᾽ ἀνδρῶν βίον ἄριστον ἐζήλου,
ὴ κατ᾽ εὐρὺν φωλεὸν διατρίβων,
ʼ ἀρίστην ὀριτρόφων φυὴν ἔγνω,
ρρονεῖσθαι γνησίως ἐπειρᾶτο.
ς δ᾽ ὑπὸ σπήλυγγι θαμινὰ παντοίων
ὶν ὅμιλος ἡμέρως συνηυλίσθη·
εἱστία τε κἀφίλει νόμῳ ξείνων,
τιθεὶς ἅπασι δαῖτα θυμήρη.
ν δὲ κερδὼ καὶ σύνοικον εἰλήφει,
ἧς τὰ πολλὰ μειλίχως συνεζήτει.
ν δέ τις πίθηκος ἦν ὁ δαιτρεύων
ν τε συσσίτοισι διανέμων μοίρας·
εἴ τις ἦλθεν οὐχὶ τῆς συνηθείης,
ὸν παρετίθει δεσπότῃ τε κἀκείνῳ,
εἶχεν ὁ λέων νεοδρόμῳ λαβὼν θήρῃ·
οῖ δ᾽ ἑώλων ἔφερεν οὐκ ἴσην μοῖραν.
ἡ ποτ᾽ αὐτὴν προσποιητὰ σιγῶσαν
νου τε χεῖρα καὶ βορῆς ἀποσχοῦσαν,
τίν᾽ εἶχεν αἰτίην διηρώτα·
ρδοῖ σοφή, λάλησον ὡς πρὶν εἰώθεις
δρῷ προσώπῳ· δαιτός, ὦ φίλη, ψαῦσον.“
εἶπεν· „Ὦ φέριστε θηρίων γέννης,
λῇ μερίμνῃ καρδίην διαξαίνω·
γὰρ τὰ νῦν παρόντα μοῦνον ἀλγύνει·
δ᾽ ἔπειτα“ φησί „προσκοπουμένη κλαίω.
ἡμέραν γὰρ εἴ τις ἄλλος, εἶτ᾽ ἄλλος
ος πελάζοι, τοῦτο δ᾽ εἰς ἔθος βαίνοι,
᾽ οὐδ᾽ ἑώλων γεύσομαι κρεῶν μούνη.“

ὁ λέων δὲ τερφθεὶς ὡς λέων τε μειδήσας
εἶπεν· „πιθήκῳ ταῦτα, μηδ' ἐμοὶ μέμφου.“

Ὅτι μᾶλλον ἀλγύνειν καὶ λυπεῖν οἶδεν ἀνθρώπους οὐ παρόντα μόνον, καθ' ὅσον ἤδη ἡ τῶν μελλόντων προσδοκί

107.

(*ΛΕΩΝ ΚΑΙ ΜΥΣ.*)

Λέων ἀγρεύσας μῦν ἔμελλε δειπνήσειν·
ὁ δ' οἰκότριψ κλὼψ ἐγγὺς ὢν μόρου τλήμων
τοιοῖσδε μύθοις ἱκέτευε τὸν θῆρα·
„Ἐλάφους πρέπει σοι καὶ κερασφόρους ταύρους
„θηρῶντι νηδὺν σαρκὶ τῇδε πιαίνειν·
„μυὸς δὲ δεῖπνον οὐδ' ἄκρων ἐπιψαῦσαι
„χειλῶν ἀμυσχρῶν. ἀλλά, λίσσομαι, φείδου.
„ἴσως χάριν σοι τῆσδε μικρὸς ὢν τίσω.“
γελάσας δ' ὁ θὴρ παρῆκε τὸν ἱκέτην ζῶντα.
καὶ δὴ φιλαγρευταῖς ἐμπεσὼν νεηνίσκοις
ἐδικτυώθη καὶ σφαλοῖς ἐδεσμεύθη·
[κἀντεῦθεν ἀπεγνώκει ὁ θὴρ τὴν σωτηρίαν.]
ὁ μῦς δὲ λάθρῃ χηραμοῦ προπηδήσας
στερρόν τ' ὀδοῦσι βραχυτάτοις βρόχον κείρας
ἔλυσε τὸν λέοντα, τοῦτο φῶς βλέψαι
ἐπάξιον δοὺς μισθὸν ἀντὶ ζωγρείας.
Σαφὴς ὁ μῦθος εὖ νοοῦσιν ἀνθρώποις,
σῴζειν πένητας μηδέ των ἀπελπίζειν,
εἰ καὶ λέοντα μῦς ἔσωσ' ἀγρευθέντα.

ΑΡΧΗ ΤΟΥ Μ.

ΠΡΟΟΙΜΙΟΝ.

Μῦθος μέν, ὦ παῖ βασιλέως Ἀλεξάνδρου,
Σύρων παλαιῶν ἐστιν εὕρεμ' ἀνθρώπων,
οἳ πρίν ποτ' ἦσαν ἐπὶ Νίνου τε καὶ Βήλου.
πρῶτος δέ φασιν εἶπε παισὶν Ἑλλήνων
Αἴσωπος ὁ σοφός· εἶπε καὶ Λιβυστῖνος
λόγους Κιβύσσης. ἀλλ' ἐγὼ νέῃ μούσῃ
δίδωμι, καθαρῷ χρυσίῳ χαλινώσας
τὸν μυθίαμβον, ὥσπερ ἵππον ὁπλίτην.
ὑπ' ἐμοῦ δὲ πρώτου τῆς θύρας ἀνοιχθείσης
εἰσῆλθον ἄλλοι, καὶ σοφωτέρας μούσης
γρίφοις ὁμοίας ἐκφέρουσι ποιήσεις,
μαθόντες οὐδὲν πλεῖον ἢ με γινώσκειν.
ἐγὼ δὲ λευκῇ μυθιάζομαι ῥήσει,
καὶ τῶν ἰάμβων τοὺς ὀδόντας οὐ θήγω,
ἀλλ' εὖ πυρώσας, εὖ δὲ κέντρα πρηΰνας,
ἐκ δευτέρου σοι τήνδε βίβλον ἀείδω.

108.

(ΜΥΣ ΑΡΟΥΡΑΙΟΣ ΚΑΙ ΜΥΣ ΑΣΤΙΚΟΣ.)

Μυῶν ὁ μέν τις βίον ἔχων ἀρουραῖον,
ὁ δ' ἐν ταμείοις πλουσίοισι φωλεύων,
ἔθεντο κοινὸν τὸν βίον πρὸς ἀλλήλους.
ὁ δ' οἰκόσιτος πρότερος ἦλθε δειπνήσων
ἐπὶ τῆς ἀρούρης ἄρτι χλωρὸν ἀνθούσης·
τρώγων δ' ἀραιὰς καὶ διαβρόχους σίτου
ῥίζας, μελαίνῃ συμπεφυρμένας βώλῳ,
„Μύρμηκος“ εἶπε „ζῇς βίον ταλαιπώρου
„ἐν πυθμέσιν γῆς κρῖμνα λεπτὰ βιβρώσκων·
„ἐμοὶ δ' ὑπάρχει πολλὰ καὶ περισσεύει·

„τὸ κέρας κατοικῶ πρὸς σὲ τῆς Ἀμαλθείας.
„εἴ μοι συνέλθοις, ὡς θέλεις, ἀσωτεύσῃ,
„παρεὶς ὀρύσσειν ἀσφάλαξι τὴν χώρην.“
ἀπῆγε τὸν μῦν τὸν γεηπόνον πείσας
εἰς οἶκον ἐλθεῖν ὑπό τε τοῖχον ἀνθρώπου.
ἔδειξε δ᾽ αὐτῷ, ποῦ μὲν ἀλφίτων πλήθη,
ποῦ δ᾽ ὀσπρίων ἦν σωρὸς ἢ πίθοι σύκων,
στάμνοι τε μέλιτος σώρακοί τε φοινίκων.
ὁ δ᾽ ὡς ἐτέρφθη πᾶσι καὶ παρωρμήθη
καὶ τυρὸν ἦγεν ἐκ κανισκίου σύρων,
ἀνέῳξε τὴν θύραν τις· ὁ δ᾽ ἀποπηδήσας
στεινῆς ἔφευγε δειλὸς ἐς μυχὸν τρώγλης,
ἄσημα τρίζων τόν τε πρόξενον θλίβων.
μικρὸν δ᾽ ἐπισχών, εἶτ᾽ ἔσωθεν ἐκκύψας,
ψαύειν ἔμελλεν ἰσχάδος Καμειραίης·
ἕτερος δ᾽ ἐπῆλθεν ἄλλο τι προαιρήσων·
οἱ δ᾽ ἔνδον ἐκρύβοντο. μῦς δ᾽ ἀρουρείτης
„Τοιαῦτα δειπνῶν“ εἶπε „χαῖρε καὶ πλούτει,
„καὶ τοῖς περισσοῖς αὐτὸς ἐντρύφα δείπνοις,
„ἔχων τὰ πολλὰ ταῦτα μεστὰ κινδύνων·
„ἐγὼ δὲ λιτῆς οὐκ ἀφέξομαι βώλου,
„ὑφ᾽ ἣν τὰ κρῖμνα μὴ φοβούμενος τρώγω.“

Ταῦτα ῥητέον τῷ ἐν προσχήματι φιλίας κακαῖς συμβο-λίαις ἀπάγειν ἡμᾶς βουλομένῳ ζωῆς ἀταράχου, καὶ κινδύν-καθυποβαλαι χάριν ῥεουσῶν ἡδονῶν.

109.

(ΚΑΡΚΙΝΟΣ ΚΑΙ ΜΗΤΗΡ.)

„Μὴ λοξὰ βαίνειν,“ ἔλεγε καρκίνῳ μήτηρ,
ὑγρῇ τε πέτρῃ πλάγια κῶλα μὴ σύρειν.“

ὁ δ' εἶπε· „Μῆτερ, ἡ διδάσκαλος, πρώτη
„ὀρθὴν ἄπελθε, καὶ βλέπων σὲ ποιήσω.“

Ἀντίρρησιν ὁ μῦθος ἔχει πρὸς τοὺς ἐναντίας τοῖς ἔργοις διδασκαλίας ποιουμένους.

110.

(ΚΥΩΝ ΚΑΙ ΔΕΣΠΟΤΗΣ.)

Μέλλων ὁδεύειν τῆς κυνός τις ἑστώσης
εἶπεν· „Τί χάσκεις; πάντ' ἕτοιμά σοι ποίει·
„μετ' ἐμοῦ γὰρ ἥξεις.“ ἡ δὲ κέρκον οὐραίης
ἄρασά φησι· „Πάντ' ἔχω· σὺ δὲ βραδύνεις.“

Πρὸς ἄνδρα ἀπαρασκεύαστον, [πρὸς] τὸν ἐν ἑτοιμασίᾳ ὄντα [καὶ] περὶ συνοδοιπορίας κατεπείγοντα, ὁ λόγος εὔκαιρος.

111.

(ΟΝΟΣ ἍΛΑΣ ΦΕΡΩΝ.)

Μικρέμπορός τις ὄνον ἔχων ἐβουλήθη,
τοὺς ἅλας ἀκούων παρὰ θάλασσαν εὐώνους,
τούτους πρίασθαι, φορτίσας τε γενναίως
τὸν ὄνον κατῆγε. τῆς δ' ὁδοῦ προκοπτούσης,
ὤλισθεν ἄκων εἴς τι ῥεῖθρον ἐξαίφνης,
καὶ συντακέντων τῶν ἁλῶν ἐλαφρύνθη·
ῥᾴων δ' ἀνέστη καὶ παρῆν ἀμοχθήτως
εἰς τὴν μεσόγειον. τοὺς ἅλας δὲ πωλήσας
πάλιν γομώσων τὸν ὄνον ἦγε, καὶ πλείω
ἔτ' ἐπετίθει τὸν φόρτον. ὡς δὲ μοχθήσας
διέβαινε τὸν ῥοῦν, οὗπερ ἦν πεσὼν πρώην,
ἑκὼν κατέπεσε, καὶ πάλιν γόμους τήξας
κούφως ἀνέστη γαῦρος ὥς τι κερδήσας.
ὁ δ' ἔμπορος, τέχνην γὰρ ὑπενόει, πλείστους
σπόγγους κατῆγεν ὕστερον πολυτρήτους

ἐκ τῆς θαλάσσης, τοὺς δ' ἅλας μεμισήκει.
ὁ δ' ὄνος πανοῦργος, ὡς προῆλθε τῷ ῥείθρῳ,
ἑκὼν κατέπεσεν· ἀθρόως δὲ τῶν σπόγγων
διαβραχέντων πᾶς ὁ φόρτος ὠγκώθη,
βάρος δὲ διπλοῦν ἦλθε βαστάσας νώτοις.

Πολλάκις ἐν οἷς τις ηὐτύχησε καὶ πταίει.

112.

(ΜΥΣ ΚΑΙ ΤΑΥΡΟΣ.)

Μῦς ταῦρον ἔδακεν. ὁ δ' ἐδίωκεν ἀλγήσας
τὸν μῦν· φθάσαντος δ' εἰς μυχὸν φυγεῖν τρώγλης
ὤρυσσεν ἑστὼς τοῖς κέρασι τοὺς τοίχους,
ἕως κοπωθεὶς ὀκλάσας ἐκοιμήθη
παρὰ τὴν ὀπὴν ὁ ταῦρος. ἔνθεν ἐκκύψας
ὁ μῦς ἐφέρπει καὶ πάλιν δακὼν φεύγει.
ὁ δ' ἐξαναστὰς οὐκ ἔχων ὃ ποιήσει
διηπορεῖτο· τῷ δ' ὁ μῦς ἐπιτρύξας·
„Οὐχ ὁ μέγας ἀεὶ δυνατός. ἔσθ', ὅπου μᾶλλον
„τὸ μικρὸν εἶναι καὶ ταπεινὸν ἰσχύει.“

113.

(ΠΟΙΜΗΝ ΚΑΙ ΚΥΩΝ.)

Μάνδρης ἔσω τις πρόβατα συλλέγων δείλης,
κνηκὸν μετ' αὐτῶν λύκον ἔμελλε συγκλείειν.
ὁ κύων δ' ἰδὼν πρὸς αὐτὸν εἶπε· „Πῶς σπεύδεις
„τὰ πρόβατα σῶσαι, τοῦτον εἰσάγων ἡμῖν;“

Ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἀσφαλὴς ἡ μετὰ τῶν κακῶν συνοικ[ία]

114.

(ΛΥΧΝΟΣ.)

Μεθύων ἐλαίῳ λύχνος ἑσπέρης ηὔχει
πρὸς τοὺς παρόντας, ὡς ἑωσφόρου κρείσσων

λάμπειν ἅπασιν ἐκπρεπέστατον φέγγος.
ἀνέμου δὲ συρίσαντος εὐθὺς ἐσβέσθη
πνοῇ ῥαπισθείς. ἐκ δὲ δευτέρης ἅπτων
εἶπέν τις αὐτῷ· „Βαιὸν ἦν λύχνου πνεῦμα·
„τῶν δ' ἀστέρων τὸ φέγγος οὐκ ἀποθνήσκει.“

Ὁ μῦθος ἡμᾶς διδάσκει μηδαμῶς φυσιοῦσθαι ἐπὶ τοῖς τοῦ βίου λαμπροῖς, ἐπισταμένους μηδὲν εἶναι μόνιμον.

ΑΡΧΗ ΤΟΥ Ν.

115.

(*ΧΕΛΩΝΗ ΚΑΙ ΑΕΤΟΣ.*)

Νωθὴς χελώνη λιμνάσιν ποτ' αἰθυίαις
λάροις τε καὶ κήϋξιν εἶπεν ἀγρώσταις·
„Κἀμὲ πτερωτὴν εἴθε τις πεποιήκει.“
τῇ δ' ἐκ τύχης ἔλεξεν αἰετὸς ταῦτα·
„Πόσον, χέλυνα, μισθὸν αἰετῷ δώσεις,
„ὅστις σ' ἐλαφρὸν καὶ μετάρσιον θήσω;“
„Τὰ τῆς Ἐρυθρῆς πάντα δῶρά σοι δώσω.“
„Τοιγὰρ διδάξω,“ φησίν. ὑπτίην δ' ἄρας
ἔκρυψε νέφεσιν, ἔνθεν εἰς ὄρος ῥίψας
ἤραξεν αὐτῆς οὖλον ὄστρακον νώτων.
ἡ δ' εἶπεν ἐκψύχουσα· „Σὺν δίκῃ θνήσκω·
„τί γὰρ νεφῶν μοι, καὶ τίς ἦν πτερῶν χρεία,
„τῇ καὶ χαμᾶζε δυσκόλως προβαινούσῃ;“

116.

(*ΑΝΗΡ ΚΑΙ ΜΟΙΧΟΣ.*)

Ν[illegible]τὸς [illegible] παῖς τις εὐφώνως·
νὴ [illegible]ιδε κἀξαναστᾶσα

θυρίδων προκύπτει, καὶ βλέπουσα τὸν παῖδα
λαμπρᾶς σελήνης ἐν φάει καλὸν λίαν,
τὸν ἄνδρ' ἑαυτῆς καταλιποῦσα κοιμᾶσθαι,
κάτω μελάθρων ἦλθε καὶ θύρης ἔξω
ἐλθοῦσ' ἐποίει τῇ προθυμίῃ πλήρη.
ὡνὴρ δὲ ταύτης ἐξανίστατ' ἐξαίφνης,
ζητῶν ὅπου 'στί, κοὐκ ἰδὼν δόμων εἴσω
μηδὲν χανών τε καὐτὸς ἦλθεν εἰς οἶμον,
καὶ τῇ συνεύνῳ φησί· „Μηδὲν ἐκπλήσσου,
„τὸν παῖδα δ' ἡμῶν πεῖσον εἰς δόμους εὕδειν."
ὃν καὶ λαβὼν παρῆγεν. εἶτα κἀκεῖνος,
ἄμφω θελόντων δρᾶν τι, τῇδ' ἐραθύμει.
Τουτὶ μὲν οὕτως· ἔμφασις δὲ τοῦ μύθου,
κακὸν ἐπιχαίρειν ὅταν ἔχῃ τις ἐκτῖσαι.

117.

(ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΕΡΜΗΣ.)

Νεώς ποτ' αὐτοῖς ἀνδράσιν βυθισθείσης,
ἰδών τις ἔλεγεν ἄδικα τοὺς θεοὺς κρίνειν·
ἑνὸς γὰρ ἀσεβοῦς ἐμβεβηκότος πλοίῳ,
πολλοὺς σὺν αὐτῷ μηδὲν αἰτίους θνήσκειν.
καὶ ταῦθ' ὁμοῦ λέγοντος, οἷα συμβαίνει,
πολλῶν ἐπ' αὐτὸν ἑσμὸς ἦλθε μυρμήκων,
σπεύδοντες ἄχνας πυρίνας ἀποτρώγειν.
ὑφ' ἑνὸς δὲ δηχθεὶς συνεπάτησε τοὺς πλείους.
Ἑρμῆς δ' ἐπιστὰς τῷ τε ῥαβδίῳ παίων
„Εἶτ' οὐκ ἀνέξῃ" φησί „τοὺς θεοὺς εἶναι
„ὑμῶν δικαστάς, οἷος εἶ σὺ μυρμήκων;"

Ὁ λόγος διδάσκει ἡμᾶς μηδὲν ψέγειν τὰς τοῦ θεοῦ ... τοὺς ἀνθρώπους ἀκαταλήπτους οἰκονομίας, κἂν ἄδικοι ... ἀπαιδεύτοις δοκοῖεν εἶναι.

ΑΡΧΗ ΤΟΥ Ξ.

118.

(ΧΕΛΙΔΩΝ ΔΙΚΑΣΤΑΙΣ ΣΥΝΟΙΚΟΥΣΑ.)

θὴ χελιδών, ἡ πάροικος ἀνθρώπων,
; καλιὴν ηὐθέτιζεν ἐν τοίχῳ,
υ γερόντων οἶκος ἦν δικαστήρων·
εἴ νεοσσῶν ἑπτὰ γίνεται μήτηρ,
ω πτερίσκοις πορφυροῖς ἐπανθούντων.
; δὲ τούτους ἑρπύσας ἀπὸ τρώγλης
:ντας ἑξῆς ἔφαγεν. ἡ δὲ δειλαίη
δων ἀώρων συμφορὰς ἀπεθρήνει,
ίμοι“ λέγουσα, „τῆς ἐμῆς ἐγὼ μοίρης.
:ου νόμοι γὰρ καὶ θέμιστες ἀνθρώπων,
θεν χελιδὼν ἠδικημένη φεύγει.“

Κατὰ δικαστῶν ὁ λόγος, βοηθεῖν δυναμένων τοῖς μηδὲν
ὸν πράξασι, καὶ τοῖς ὑπὸ μειζόνων ἀδικουμένοις μηδεμίαν
ίληψιν παρεχομένων.

119.

(ΑΓΑΛΜΑ ΕΡΜΟΥ.)

λινόν τις Ἑρμῆν εἶχεν· ἦν δὲ χερνήτης·
ένδων δὲ τούτῳ καὶ καθ' ἡμέραν θύων
ασσε φαύλως. τῷ θεῷ δ' ἐθυμώθη·
ιαὶ δ' ἀπεκρότησε τοῦ σκέλους ἄρας.
σὸς δὲ κεφαλῆς ἐρρύη καταγείσης,
συλλέγων ἄνθρωπος εἶπεν· „Ἑρμεία,
ιαιός τις εἶ σὺ καὶ φίλοισιν ἀγνώμων,
προσκυνοῦντας οὐδὲν ὠφέλεις ἥμας,
ιαθοῖς δὲ πολλοῖς ὑβρίσαντας ἠμείψω.
ν εἰς σὲ καινὴν εὐσέβειαν οὐκ ἤδειν.“
Καὶ τοὺς θεοὺς Αἴσωπος ἐμπλέκει μύθοις,

βουλόμενος ἡμᾶς νουθετεῖν πρὸς ἀλλήλους·
πλέον οὐδὲν ἕξεις σκαιὸν ἄνδρα τιμήσας,
ἀτιμάσας δ' ἂν αὐτὸν ὠφεληθείης.

ΑΡΧΗ ΤΟΥ Ο.

120.

(ΒΑΤΡΑΧΟΣ ΙΑΤΡΟΣ.)

Ὁ τελμάτων ἔνοικος, ὁ σκιῇ χαίρων,
ὁ ζῶν ὀρυκτοῖς βάτραχος παρ' εὐρίποις,
εἰς γῆν παρελθὼν ἔλεγε πᾶσι τοῖς ζώοις
ἰατρὸς εἶναι φαρμάκων ἐπιστήμων,
οἵων τάχ' οὐδεὶς οἶδεν, οὐδ' ὁ Παιήων,
ὃς Ὄλυμπον οἰκεῖ καὶ θεοὺς ἰατρεύει.
„Καὶ πῶς" ἀλώπηξ εἶπεν „ἄλλον ἰήσῃ,
„ὁ σαυτὸν οὕτω χωλὸν ὄντα μὴ σώζων;"

Πρὸς ἄνδρα ἀμαθῆ καὶ ἀπαίδευτον, ἄλλους παιδεύ
ἐπαγγελλόμενον.

121.

(ΟΡΝΙΣ ΚΑΙ ΑΙΛΟΥΡΟΣ.)

Ὄρνις ποτ' ἠσθένησε. τῇ δὲ παρκύψας
αἴλουρος εἶπε· „Πῶς ἔχεις; τίνων χρῄζεις;
„ἐγὼ παρέξω πάντα σοι· μόνον σῷζου."
ἡ δ' „ἂν ἀπέλθῃς," εἶπεν, „οὐκ ἀποθνήσκω."

Πρὸς τοὺς πονηρᾷ διαθέσει χρηστότητα ἐπιδεικνυμένο
ὁ λόγος εὔκαιρος.

122.

(ΟΝΟΣ ΚΑΙ ΛΥΚΟΣ.)

νος πατήσας σκόλοπα χωλὸς εἱστήκει·
ὶκον δ' ἰδὼν παρόντα καὶ σαφῆ δείσας
εθρον οὕτως εἶπεν· „Ὦ λύκε, θνήσκω,
ιέλλω δ' ἀποπνεῖν· σοὶ δὲ συμβαλὼν χαίρω.
σὺ μᾶλλον ἢ γὺψ ἢ κόραξ με δειπνήσεις.
χάριν δέ μοι δὸς ἀβλαβῆ τε καὶ κούφην,
ἐκ τοῦ ποδός μου τὴν ἄκανθαν εἰρύσσας,
ὥς μου κατέλθῃ πνεῦμ' ἀναλγὲς εἰς Ἅιδου."
ἀκεῖνος εἰπὼν „Χάριτος οὐ φθονῶ ταύτης"
δοῦσιν ἄκροις σκόλοπα θερμὸν ἐξῄρει.
δ' ἐκλυθεὶς πόνων τε κἀνίης πάσης
ὸν κνηκίαν χάσκοντα λακτίσας φεύγει,
ῖνας, μέτωπα, γομφίους τ' ἀλοιήσας.
„Οἴμοι" λύκος, „τάδ'" εἶπε „σὺν δίκῃ πάσχω.
τί γὰρ ἄρτι χωλοὺς ἠρξάμην ἰατρεύειν,
μαθὼν ἀπ' ἀρχῆς οὐδὲν ἢ μαγειρεύειν;"

Ὅτι οἱ τοῖς μηδὲν προσήκουσιν ἐπιτηδεύμασιν ἐπιχειροῦντες, εἰκότως δυστυχοῦντες βλάβην ἑαυτοῖς ἐπιφέρουσιν.

123.

(ΟΡΝΙΣ ΧΡΥΣΟΤΟΚΟΣ.)

ρνιθος ἀγαθῆς ᾠὰ χρυσᾶ τικτούσης,
ησαυρὸν ᾤεθ' ὁ δεσπότης ἐνευρήσειν
τῆσδε πολλὸν ἐγκάτοις ἀγερθέντα·
ἔκτεινε ταύτην, ἀθρόον θέλων λήψειν.
ρῶν δ' ὅμοια τἄνδον ὀρνέοις ἄλλοις
ιωξε πολλὸν ἐλπίδων ἀτευκτήσας·
λείονος ἔρως γὰρ ἐστέρησε τῶν ὄντων.

124.

(ΟΡΝΙΘΟΘΗΡΑΣ, ΠΕΡΔΙΞ ΚΑΙ ΑΛΕΚΤΟΡΙΣΚΟΣ

Ὀρνιθοθήρᾳ φίλος ἐπῆλθεν ἐξαίφνης,
μέλλοντι θύμβραν καὶ σέλινα δειπνήσειν.
ὁ δὲ κλωβὸς εἶχεν οὐδέν· οὐ γὰρ ἠγρεύκει.
ὥρμησε δὴ πέρδικα ποικίλον θύσων,
ὃν ἡμερώσας εἶχεν εἰς τὸ θηρεύειν.
ὁ δ' αὐτὸν οὕτως ἱκέτευε μὴ κτεῖναι.
„τὸ λοιπὸν“ εἶπε „δικτύῳ τί ποιήσεις,
„ὅταν κυνηγῇς; τίς δέ σοι συναθροίσει
„εὔωπὸν ἀγέλην ὀρνέων φιλαλλήλων;
„τίνος μελῳδοῦ πρὸς τὸν ἦχον ὑπνώσεις;“
ἀφῆκε τὸν πέρδικα, καὶ γενειήτην
ἀλεκτορίσκον συλλαβεῖν ἐβουλήθη.
ὁ δ' ἐκ πεταύρου κλαγγὸν εἶπε φωνήσας·
„πόθεν μαθήσῃ πόσσον εἰς ἕω λείπει,
„τὸν ὡρόμαντιν ἀπολέσας με; πῶς γνώσῃ
„πότ' ἐννυχεύει χρυσότοξος Ὠρίων;
„ἔργων δὲ τίς σε πρωϊνῶν ἀναμνήσει,
„ὅτε δροσώδης ταρσός ἐστιν ὀρνίθων;“
κἀκεῖνος εἶπεν· „οἶσθα χρησίμους ὥρας·
„ὅμως δὲ δεῖ σχεῖν τὸν φίλον, τί δειπνήσει.“

Ὅτι τῷ ἀνδρὶ δουλεύειν ἐπιθυμίαις εἰθισμένῳ οὐδεὶς
γος ἰσχυρὸς πρὸς τὸ μὴ πράττειν ἀεὶ τὰ καθ' ἡδονήν.

125.

(ΟΝΟΣ ΠΑΙΖΩΝ.)

Ὄνος τις ἀναβὰς ἐπὶ τὸ δῶμα καὶ παίζων
τὸν κέραμον ἔθλα, καί τις αὐτὸν ἀνθρώπων
ἐπιδραμὼν κατῆγε τῷ ξύλῳ παίων.
ὁ δ' ὄνος πρὸς αὐτόν, ὃς τὸ νῶτον ἠλοία,

' πίθηκος ἐχθές" εἶπε „καὶ πρώην
' ὑμᾶς αὐτὸ τοῦτο ποιήσας."

126.

(ΤΕΤΤΙΞ ΚΑΙ ΜΥΡΜΗΞ.)

; ὥρῃ σῖτον ἐν μυχοῦ σύρων
ιρμηξ, ὃν θέρους σεσωρεύκει.
τοῦτον ἱκέτευσε λιμώττων,
ι καὐτῷ τῆς τροφῆς, ὅπως ζήσῃ·
ἐποίεις" φησί „τῷ θέρει τούτῳ;"
;όλαζον, ἀλλὰ διετέλουν ᾄδων."
δ' ὁ μύρμηξ, τόν τε πυρὸν ἐγκλείων,
)ς ὀρχοῦ" φησίν „εἰ θέρους ᾖσας."
τον τὸ φροντίζειν χρεῶν ἀναγκαίων,
σίσχειν τέρψεσίν τε καὶ κώμοις.

127.

ράχνης ἱστὸν εὗρε κωλώτης,
ὸν ἐνέδυ φᾶρος ἐκτεμὼν τοίχου.

128.

ὶρ ὑμεῖς στελεὰ πάντ' ἐγεννᾶτε,
εωργὸς πέλεκυν ἐν δόμοις εἶχεν.

129.

ἐ καιρός ἐστιν ἥϊα λύειν.

BABRII

FABULARUM SYLLOGE ALTERA.

1.

(ΠΡΟΟΙΜΙΟΝ.)

Ἄκουσον, ὦ παῖ, δευτέρων πάλιν μύθων·
κἂν παραπικραίνω σε τῶν ἁλῶν πλείω,
ἀλλὰ πλέον μέλιτος ὕστερον καθηδύνω.
ῥητὴρ μὲν οὐκ ἔγωγε· ταῦτα δ' Αἴσωπος
ὁ Σαρδιηνὸς εἶπεν, ὅντιν' οἱ Δελφοί,
[θεοῖσι δρῶντες οὐκ ἀνασχετά, καλόν]
ᾄδοντα μῦθον οὐ καλῶς ἐδέξαντο.
ἀλλ' ἀπέωσαν νήπιοι κατὰ κρημνοῦ,
λιπόντες ἐπιγόνοισι βάξιν ἐχθίστην.

2.

(ΚΟΡΥΔΟΣ ΘΑΠΤΩΝ ΤΟΝ ΠΑΤΕΡΑ.)

Αἴσωπος εἶπε καὶ τόδ' ἐν παλαιφάτοις·
ὄρνιθα πρώτην τὸν κόρυδον γεγενῆσθαι·
καὶ γῆς μὲν αὐτῆς εἶπέ μιν προϋπάρχειν.
ταύτης δὲ συμβέβηκεν ἔκ τινος νούσου
φίλον γεννητὴν τέρμα βιότου πλῆσαι.
μήπω δὲ γαίης τηνικαῦθ' ὑπαρχούσης,
οὐκ εἶχε, ποῦ γάρ; τὸν νεκρὸν καταθάπτειν·
ὁ δ' ἀκτέριστος προυβέβλητο πεμπταῖος·
ὅμως δ' ἀμηχανοῦσαν ἐν κάρῃ θάψαι.
Θάπτειν θανόντας εὐσεβὲς ὂν ἀεὶ γνώσῃ
σέβειν τε τοὺς τεκόντας εὖ, παλαίτατον
νόμον τ' ἄριστον καὶ τεθειμένον φύσει.

3.

(*ΑΙΣΩΠΟΣ ΕΝ ΝΑΥΠΗΓΙΩι.*)

'ἴσωπος ἐς ναυπήγιον ποτ' ἐληλούθει —
χολὴν γὰρ ἦγε πρὸς θεωρίης πάτον —
ιεῖ δ' ἀεργοῖς ἠβόλησε ναυπηγοῖς.
ῖκωπτον οὗτοι τὸν σοφὸν παναγροίκως,
χὶ τοῦτον ἐκκαλοῦντο πρὸς λόγους χλεύῃ,
; δή τιν' οὐκ ἄμουσον εἶπε τὸν μῦθον.
χάος τὸ πρῶτον ἠδ' ὕδωρ γενηθήτην.
βούλετο Ζεὺς καὶ γέην ἐποφθῆναι,
έως ἄφαντον ἐξ ὑδατίου πλήθους.
εἰς τρὶς παρήνει τῇδε νᾶμα θαλάσσης
πορροφῆσαι· τῆς δ' ἅπαξ πεπωκυίας,
ρη τὸ πρῶτον ἐξέφηνεν εἰς ὕψη.
ὸ δεύτερον δ' εἶτ' ἐκροφησάσης γαίης,
πεγυμνοῦτο δάπεδα χλόης πλήρη.
ὰν δὲ δόξῃ καὶ τρίτον τόδε πράττειν,
ἰχήσεθ' ὑμῖν φροῦδα τά γε τῆς τέχνης.
Πρὸς κρείττονας πᾶς τις λόγοισιν ἀφραίνων
'φ' ἑαυτὸν μᾶλλον προυκέκληκε τὴν χλεύην.

4.

(*ΑΕΤΟΣ ΚΑΙ ΑΝΘΡΩΠΟΣ.*)

'Αετός ποτ' εἶχετ' ἐν βρόχοισιν ἀγρώτου,
ὃς δὴ τὰ ταρσὰ τοῦτον εὐθέως τίλας
μεθῆκ' ἄνετον κατ' οἰκίην μετ' ὀρνίθων
* * * * * *
ἄλλος δὲ τοῦτον θηράτωρ ἐξωνεῖται,
ιἀναπτερώσας εἶχε πρὸς τὸ θηρεύειν.
ὃς δὴ πετασθεὶς καὶ λαγὼν ἀναρπάσας
ἤνεγκε δῶρον δεσπότῃ νέῳ πρόφρων.

ἰδοῦσα κερδὼ ταῦτα φησὶν αἰείτῃ·
„μή σύ γε τοῦτον, ἀλλὰ τὸν πάλαι τίμα.
„μή τοί σε πάλιν αὐτὸς ἐμπαγιδεύσας
„τὰ πτίλα καὶ τὸ δεύτερόν σε τιλώσῃ.“
πρὸς ἣν ἔλεξε τοιάδ' ἱρὸς αἰείτης·
„πόρρω κακῶν με τοὺς καλοὺς δέον τίειν.“

5.

(ΤΡΑΓΟΣ ΚΑΙ ΑΜΠΕΛΟΣ.)

Ἄμπελος ἔθαλλε βοτρύεσσι καὶ φύλλοις.
τράγος παρελθὼν παρέτρωγε τῆς βλάστης.
τοῦτον προσεῖπεν ἄμπελος· „τί με βλάπτεις
„κείρων τὰ φύλλα; μὴ γὰρ οὐκ ἔνι χλοίη;
„ἀλλ' ἀξίαν οὐκ ἐς μακρὰν δίκην δώσεις.
„κἂν γάρ με κείρων σὺ φάγῃς ἐπὶ ῥίζαν,
„ἀλλ' οὖν γε λοιβὴν θυομένῳ σοι παρέξω.“

6.

(ΛΕΩΝ ΚΑΙ ΑΝΘΡΩΠΟΣ.)

Ἀνήρ τε καὶ λὶς ἠβόλησαν ἀλλήλοις,
αὐχῶν δ' ἕκαστος θατέρῳ συνωμίλει.
χὠδοιποροῦντες εὐθέως ἴδον στήλην,
ἐν ᾗ λέοντ' ἄνθρωπος ἦγχ' ἐπιβαίνων.
ὥνθρωπος αὐτὴν τῷ λέοντι ἐπιδείξας,
„ὁρᾷς λεόντων, εἶφ', ὅσον βροτοὶ κρείττους.“
„ἀλλ' εἰ λέοντες, εἶπεν, ᾔδεσαν γλύφειν,
„πολλοὺς ἂν ὑμῶν εἶδες ὑπὸ λειόντων
[„πατουμένους τε κἀγχομένους ὅσους ἄλλους.]“
Ἕκαστος αὐτὸν ἐν λόγοισιν ἐξαίρει.

7.

(ΚΥΚΝΟΣ ΚΑΙ ΧΗΝ.)

ήρ τις ἐπρίατο χῆν' ἅμα κύκνῳ,
ιφήν τε παρέβαλλεν οὐκ ἴσῃ γνώμῃ·
ʼ μὲν γὰρ ᾠδῆς, τὸν δὲ χάριν τραπέζης.
οὖν ἔμελλε χηνίον καταθύσειν,
ετράφη γὰρ ἵνα δεσπότην θρέψοι,]
ῆλθε καὶ νύξ, ἣ τὰ πάντα καλύπτει,
ικτὶ δὲ ῥᾷστ' ἄν τις ὄρνιν συλλάβοι.]
δεσπότης [δ'] οὐκ εἶχεν εὖ διοπτεύειν,
ʼ ἑκατέρων ὁ κύκνος εἴθ' ὁ χὴν εἴη,
τὶ δὲ χηνὸς ᾠδικὸς κύκνος ἤχθη.
λ' οὗτος ᾠδῇ τὴν φύσιν καταγγέλλει,
ὶ τὴν τελευτὴν τῷ μέλει διαφεύγει.
Πολλοὺς ἔσωσε φθέγμα ῥηθὲν εὐκαίρως.

8.

(ΒΑΤΡΑΧΟΙ.)

τραχοι νέμοντο δύο τινὲς ἐν λίμνῃ.
ἡμέραις δὲ τοῦ θέρους ξηρανθείσης,
ύτην λιπόντες ἐσκόπουν τυχεῖν ἄλλης·
ὶ δὴ 'πέκυρσαν φρέατι ἰόντες εὐύδρῳ.
δ' εἰσιδὼν ἔφησεν ἅτερος τούτων·
υγκατίωμεν, εἰ δοκεῖ, τόδ' εἰς ὕδωρ.
ἰς γὰρ νομήν τε καὶ δίαιταν εὖ ἥκει."
δὲ πρὸς αὐτὸν ἀντέφησ' ὑποβλήδην·
λλ' εἰ τυχὸν καὶ τοῦτο νῶν ἐπιλείψοι,
ῶς εἶτ' ἂν ἐκβαίημεν ἐξ ὅσου βένθους;"
Μηδέν τι ποιεῖν ἔργον ἀπερισκέπτως.

9.

(ΒΑΤΡΑΧΟΙ ΑΙΤΟΥΝΤΕΣ ΒΑΣΙΛΕΑ.)

Βατράχους κατεῖχε τῆς ἀναρχίης λύπη,
πρέσβεις τ' ἔπεμψαν εἰς Ὄλυμπον ἱκτῆρας,
εἴ πως Κρόνου παῖς σφιν ἄνακτ' ἐπιπέμψοι.
ὃς δὴ γινώσκων τούσδ' ἐόντας εὐήθεις
ἐκέλευσεν Ἑρμῆν ξύλον ἐν μέσῳ λίμνης
λαβόντα ῥῖψαι κοίρανον κοαζόντων.
τοῦ δὲ ξύλου πεσόντος οἶδμ' ἐπατάχθη.
κεῖνοι παρ' αὐτὰ δειματούμενοι κτύπῳ
κατέδυσαν αὐτοὺς εἰς βάθιστα τῆς λίμνης.
χρόνος δὲ βραχὺς τῷδ' ἔπι παρῳχήκει,
χὡς ἀκίνητον σφῶν ἄνακτα καθώρων,
δέος ἀπεβάλλοντ', ἠδ' ὑπερφρόνουν οὕτως,
ὡς κἀπὶ τοῦτον ἀδεῶς ἐπιβαίνειν,
ἠδ' ἀναβάδην τῷδ' ἔπι καθιζάνειν.
καὶ δῆτ' ἄνακτα τόνδ' ἔχειν ἀπηξίουν.
ἀνήεσάν τε δεύτερον εἰς θεῶν οἴκους,
ἠδ' ἱκέτευον τὸν ὕπατον κρειόντων,
ἐπάξιον σφῶν λαγέτην ἐπιπέμψαι.
„δοκὸν δ' ἐκείνην οὐκ ἔοικεν ἀνάσσειν,
„οὐδὲ ξύλοις αὐτοῖσι, μήτι γε ζώοις·
„ἐς γὰρ νομὴν πέφυκεν ἔμμεν Ἡφαίστου."
ὁ Ζεὺς πρὸς αὐτοὺς ἔγχελυν καταπέμπει.
ὁρῶντες οὖν καὶ τοῦτον, ὡς μάλ' εὐήθης,
οὐδ' αὐτὸν ἠθέλησαν αὐτέων ἄρχειν,
τρίτην τ' ἔπεμψαν ἱκέτειαν ὡς Ζῆνα,
ἐκλιπαροῦντες αὖθις αὐτὸν ἀμείβειν,
ἄλλον τε πέμψαι νουνεχέστερον τούτου,
ὃς ἀξίως σφιν κἂν δίκῃ μετανάσσοι.
ὁ Ζεὺς ἀκούσας ταῦτα κἀγανακτήσας



ν ἀνάσσουσαν αὐτέων ὕδραν.
ν ἕκαστον λαμβάνουσ' ἀνὰ τούτων
ήμονας κατήσθιε νηλεῶς πάμπαν,
ιοάζειν πλεῖν μηδ' ἔτι βρεκκεκέξειν.
χουσι ταῦτα πλείονες μετ' ἀνθρώποις,
ι μὴ στέργοντες, ὃν γ' ἔχον πρῴην.

10.

(*ΑΕΤΟΣ ΚΑΙ ΤΟΞΟΤΗΣ.*)

οξευτὴς ἀετοῦ γ' ἐστοχάσθη,
' οἰστὸν τὸν ἀετὸν βεβλήκει.
φεὶς δ' ἐκεῖνος, ὡς ἑωράκει
τερωτὸν ὂν πτεροῖσιν οἰκείοις,
ν ἔλεξε· „φεῦ ἐμοὶ ταλαιπώρῳ·
σι τοῖς ἐμοῖσι νῦν κατευνήθην."
ῶν ἰδίων πόλλ' ἔπαθον οἱ πλεῖστοι.

11.

(*ΒΟΕΣ ΚΑΙ ΑΜΑΞΑ.*)

ϑ' ἅμαξαν εἷλκον ἰόντες εἰς κώμην·
ἄξονος τρύζοντος οἴδ' ἠγανάκτουν,
αφέντες ταῦτ' ἐφώνεον κείνῳ·
φερόντων ἄχθος ὅλον, σὺ τί κρώζεις;"
ων πονούντων σφᾶς τινὲς φασὶν κάμνειν,
ράσαντες μηδὲν οἵγε παράπαν.

12.

(*ΒΑΤΡΑΧΟΙ.*)

οι δύο ποτ' ἐγειτνίων παρ' ἀλλήλοις.
ο δ' οὖν, ὁ μέν τις ἐν βάθει λίμνης,
ὁδοῦ δὲ μάλα μακρὰν ἀφεστώσης,

ὁ δ' αὖ τι τέλμα κἂν ὁδῷ δ' ἁμαξήρει.
ὁ δὴ λιμναῖος θατέρῳ γε παρήνει
πρὸς αὐτὸν ἀποστάντα συμβιοτεύειν,
ὡς ἂν διαίτης ἀσφαλεστέρης τύχοι.
ὁ δ' οὐκ ἐπείθετ', ἀλλὰ δυσαποσπάστως
ἔχειν ἔφησε τῆς τόπου συνηθείης,
ἕως ἅμαξ' ἐπῆλθεν, ἣ κἀμαλάχθη.
οὕτως ἀπειθῶν ἐξόλωλεν ὁ τλήμων.

13.

(ΓΑΛΛΟΙ.)

Γάλλοις ἀγύρταις εἰς τὸ κοινὸν ἐπράθη
ὄνος τις οὐκ εὔμοιρος ἀλλὰ δυσδαίμων,
ὅστις φέρῃ πτωχοῖσι καὶ πανούργοισιν
πείνης ἄκος δίψης τε καὶ τὰ τῆς τέχνης.
οὗτοι δὲ κύκλῳ πᾶσαν ἐξ ἔθους χώρην
περιόντες ᾔτουν ὄψα· τίς γὰρ ἀγροίκων
οὐκ οἶδεν Ἄττιν λευκόν, ὡς ἐπηρώθη;
τίς οὐ προθοίνας ὀσπρίων τε καὶ σίτων
ἁγνῷ φέρων δίδωσι τυμπάνῳ Ῥείης;
ὄνος δ' ὁ τλήμων πολλὰ βαστάζων ὤμοις
πεσὼν τεθνήκει, τῷ κόπῳ δ' ἀπηυδήκει.
ὅνπερ κἀπεκδείραντες οἱ συναγύρται
δορὴν τάνυσσαν, τύμπαν' ἤραρον ταύτῃ,
καὶ τυμπανήρεις ἐτρόχαζον ἐν κώμαις.
ἑτέροις δέ πως συνηβόλησαν ἀγύρταις,
οἵ σφᾶς ἐπυνθάνοντο, τίπτ' ὄνος πράττοι.
θανεῖν πάλαι μὲν εἶπον, ἀλλ' ὅμως ἤδη
πληγὰς τοσάσδε λαμβάνειν, ὅσας εἰ ζῶν
ἀκμὴν ὑπῆρχεν, οὐδαμῶς ποτ' ἂν ἔτλη.

14.

(*ΓΕΩΡΓΟΣ ΚΑΙ ΑΕΤΟΣ.*)

ͻργὸς εἶδεν ἐν πάγῃ τιν' ἀείτην·
.λους ἀγασθεὶς τόνδ' ἔλυσε πτηνάγρης,
ͺχων τ' ἐλευθέρωσεν· ἦν δ' ἄρ' ἀείτης
' οὐ σέσωστο γηπόνῳ μάλ' εὐγνώμων.
ιν γὰρ αὐτὸν ἥμενον παρὰ τοίχῳ,
ͱῆστο δ' ἐκ καύσωνος ἀμπνέων αὔρην,
ͤίλετ' ἐπιπτὰς τὸν φάκελλον ἐκ κόρσης,
ιριψε μακράν· γηπόνος δ' ἐφορμήσας
ͱεπε φάκελλον· τοιχίον τ' ἐπιπίπτει.
ω γεωργὸς ἀντίμισθον εἰλήφει.
Εἴπερ μέμνηται πτηνὸν εὖ παθὸν σώστου,
ς οὐ βροτῶν κάκιστός ἐστιν ἀγνώμων;

15.

(*ΓΕΩΡΓΟΣ ΚΑΙ ΤΥΧΗ.*)

ωργὸς εὗρε χρυσὸν ἐν γέῃ σκάπτων,
φάνοις δὲ τὴν γῆν ἔστεφ' ἡμέραν πᾶσαν,
δὴ παρ' αὐτῆς εὖ παθὼν ἀναιτήτως.
ͻνης δ' ἐπιστᾶσ' ἡ Τύχη λέγει τούτῳ·
' δή ποτ', ὦνερ, δῶρα τἀμὰ τῆς γαίης
ναι νομίζεις; παρ' ἐμοῦ γὰρ εἰλήφεις,
' ἣν λέγουσι τοὺς μὲν εὐτυχεῖς εἶναι
ιοῦ τυχόντας εὐμενοῦς ὑπαρχούσης,
ὺς δ' ἀτυχῆας δυσμενοῦς καθεστώσης.
ώ δέ σοι δέδωκα ταῦτα, πλουτίσαι
έλουσα καὶ τῆς σῆς λαβεῖν πεῖραν γνώμης,
ίνπερ εὖ καὶ μὴ κακῶς ἀναλώσῃς.
ͅει σ' ἔμοιγε τὴν χάριν καταθήσειν·
ν γὰρ ὁ καιρὸς σὴν φύσιν μεταλλάξῃ,

„καὶ μὴ δεόντως ταῦτα προσδαπανήσῃς,
„οὐ δῆτα τῇ γῇ, τῇ Τύχῃ δ' ἐμοὶ μέμψῃ."
Ἔρδειν τι καλόν, ὅς σε καλὸν ἂν δράσῃ.

16.

(ΓΥΝΗ ΚΑΙ ΘΕΡΑΠΑΙΝΑΙ.)

Γυνὴ φιλεργὸς καὶ περίφρονος γνώμης
δμωὰς κατ' οἶκον εἶχεν, ἅσπερ εἰώθει
νύκτωρ ἀνιστᾶν ἀμφ' ἀλεκτόρων ᾠδάς.
ἐδόκουν ὀτλεύειν πολλὰ τῇ τ' ἐγρηγόρσει
ἔργοις τε συχνοῖς ἐν ταλασιουργείῃ,
κἄγνωσαν οἰκόσιτον ἀλέκτορα κτείνειν·
αὐτὸν γὰρ ᾄοντ' αἰτίην ὅσων ἔτλων.
ἀλλὰ πρὸς οὐδὲν ταῖσδε καλὸν ἐπράχθη·
χείρω γὰρ ἔτλων τηνικαῦτα τῶν πρώτων.
ἡ δεσπότις γὰρ ἀγνοοῦσα τὴν ὥρην,
καθ' ἣν ἀλέκτωρ νυκτίως γε κοκκύζει,
τάσδε πρὸς ἔργον ἐννυχώτερον ἀνίστα,
καὶ μᾶλλον ἢ πρὶν ἀθλίαι ταλαιπώρουν.
τὰ γὰρ τέλη τοιαῦτα τῆς κακῆς γνώμης.

17.

(ΓΥΝΗ ΜΑΓΟΣ.)

Γυνή τις ηὔχει μαντικῆς ἐπιστήμων
τῆς κατ' ἐπῳδάς, ἀλλὰ καὶ μηνιμάτων,
ὅταν κακούργοις οἱ θεοὶ νεμεσσῶνται.
ἐτέλει δ' ὅμως οὐ μικρὰ τοὺς ἐρωτῶντας,
εὑροῦσ' ἀρίστην τοῦ πορίζεσθαι τέχνην
ἡ μάγος αὕτη, καὶ βίον σεσωρεύκει.
ἐφ' οἷς τινὲς γραψάμενοι γραφὴν ῥήτρᾳ
αἱροῦσιν αὐτὴν κηρεσιφόρῳ ψήφῳ.

ών τις αὐτὴν ἀγομένην ἐκεκράγει·
ὐ σὺ θεῶν γε μῆνιν ἄρ' ἐπηγγέλλου
ἰποτρέπειν αὐχοῦσα τῶν βροτῶν ἄλλων;
τῶς οὖν δικαστῶν οὐ κατίσχυσας ψήφου,
τείθουσα τούτους; μηδαμῶς τι τῶν θείων
ὅου νεωτερίσαι, τὰς θεῶν βουλὰς
ιροτοῖς ἀποκαλύπτουσα, καθὰ δὴ κεῖνοι
ἔχουσιν ὀργῆς ἀνέροις κακορρέκταις,
ἵνα σε μηδ' ἕλκοιεν οἶμον εἰς ᾅδου.
ψεύδους δὲ μάντις ἀξίαν δίκην τίνεις.“

18.

(ΓΡΑΥΣ ΚΑΙ ΙΑΤΡΟΣ.)

υνή τις ὀφθαλμῷ νοσοῦσ' ἐκεκμήκει.
* * * * *
ὂν τιν' ἰητρῶν τῶν λαβεῖν παλιντριβῶν,
τως ἑαυτὴν τῆς νόσου θεραπεύσῃ.
έκειτο δ' αὐτοῖν μαρτύρων [τε] παρόντων,
; εἴπερ ὄψιν τῆσδε καθυγιάσει,
ολύν τινα μισθὸν λαμβάνειν παρὰ ταύτης·
δ' οὖν ἀκέστωρ μὴ πάθους ἀπαλλάξει,
ηδὲν λαβεῖν ὧν ἡ νοσοῦσ' ὑποσταίη.
θ' ὡς ἐκεῖνος φαρμάκοισι τὰς γλήνας
ιθ' ἡμέραν [τε] φοιτάων τε καὶ χρίων
ριέδει τῆς γραὸς ὥστε μὴ δέρκειν,
ιευῶν ἕκαστα τῆς νοσούσης ἀφῄρει.
ἡμέραι δὲ τοῦτ' ἐτύγχανε πράττων,
; κατὰ μικρὸν οἰκίης γε τὰ σκεύη
ιὶ χρήμαθ' ἁπλῶς τῆς γυναικὸς εἰλήφει.
ετὰ δὲ καιρὸν ἡ γυνὴ ἀφιήθη,
ιὶ τήνδ' ἀκέστωρ ἴατρα προσαπῄτει.

αὔτη δ' ἀναβλέψασα, τῶν θ' ὑπαρχόντων
μηδὲν ὁρῶσα, μισθὸν οὐκ ἐβουλήθη
τελεῖν ἰητρῷ τῶν γ' ἀφαιρέτῃ πάντων.
ἐπέκειτ' ἀκέστωρ, τόν τε μισθὸν ἐζήτει.
ἡ δ' ἀνεβάλλετ', οὐδ' ἐβούλετό οἱ δοῦναι.
ὁ γοῦν ἀκέστωρ ἐς δίκην προκαλεῖται.
σταθεῖσα δ' ἡ γραῦς ἀντίον δικαζόντων
ἔλεξεν αὐτοῖς τάδε τῆς ἀληθείας·
„οὗτος μέν, ἄνδρες, φησί μου θεραπεῦσαι
„γλήνας νοσούσας φαρμάκων τε χρῃζούσας.
„ἐγὼ δὲ δεινήν, φήμ', ἀβλεψίην πάσχω.
„νοσοῦσα γὰρ ὄψεις ἔβλεπον πόλλ' εἰν οἴκῳ,
„σκευῶν [τ'], ἐπίπλων, χρημάτων, ὅσων κτώμην
„ὅμως δὲ νῦν, ὅθ' οὑτοσὶ μ' ὁρᾶν φάσκει,
„οὐδὲν βλέπειν ἔγωγέ φημι τῶν πάντων.“
Οὕτω πονηρός, φιλοληψίης ἥττων,
ἑαυτὸν ἐξήλεγξεν ἰδίοις ἔργοις.

19.

(*ΚΥΝΕΣ ΚΑΙ ΑΛΩΠΗΞ.*)

Δορὴν λέοντος οἱ κύνες ποθ' εὑρόντες
ταύτην διεσπάραττον οἱ θρασεῖς γνώμην.
ἰδοῦσα κερδὼ τὴν κυνῶν ἀναιδείην,
„ἀλλ' εἴπερ ἦν, ἔφησε, λὶς μετὰ ζώντων,
„τότ' ἂν ἔγνωτε τοὺς ὄνυχας λεοντείους
„ὑμῶν ὀδόντων ὅσσον εἰσί γε κρείττους.“
Τοῦτ' εὖ ἂν εἴποις ἀσθενέσσιν ἀνθρώποις
κακηγοροῦντας κατ' ἐρημίην κρείττω.



20.

(*ΔΡΑΚΩΝ ΚΑΙ ΑΕΤΟΣ.*)

ιν κάείτης συμπλακέντες ἀλλήλοις
ʼτο δεινὸν τίς ἂν ἄλλον αἱρήσοι.
ῦν ἀείτην ὁ δράκων περιειλήσας
ον κατεῖχεν ὡς μικροῦ κἀποπνῖξαι.
ʼεωργός, καὶ πλοκὴν δρακοντείην
, ἀφῆκεν ἀνέτως τὸν ἀείτην.
δὲ θυμὸν εἶχε πρὸς τοῦθʼ ὁ δράκων,
ἐφῆκε τῇ πόσει γεωπείνου.
ν δʼ ἐκεῖνος ὡς ἔμελλʼ ὕδωρ πίνειν,
ἐπιπτὰς καὶ πτεροῖσι πατάξας
τὴν κύλικα γηπόνου χεῖρας,
ε τὸν σώσαντα, χάριν ἀμείψας.

21.

(*ΜΕΛΙΣΣΑΙ ΚΑΙ ΠΟΙΜΗΝ.*)

ίναι μέλισσαι ὑπὸ δρυὸς ῥίζῃ
κατειργάζοντο, συλλέγουσʼ ἄνθη.
ν τις αὐτὰς εἶδεν ἡδυουργούσας.
ʼ ἐγνώκει κηρὸν ἐμπλέων ἥδους.
περιίπταντο, κἀλλεπαλλήλως
ις ἔπαιον, τῆς κλοπῆς ἀποστῆσαι·
δʼ ὁ ποιμήν, παιόμενός γε τοῖς κέντροις,
ι, φησί, καὶ μέλιτος οὐ χρήζω,
ὶ μελισσῶν ἐντυχεῖν με τοῖς κέντροις.“
λοτρίων ἀπόστειχʼ, εἰ θέλεις τι μὴ πάσχειν.

22.

(*ΝΑΥΑΓΟΣ ΚΑΙ ΘΑΛΑΣΣΑ.*)

να πόντου ναυηγὸς ἐξεβράσθη,
ʼ δὲ πολλὰ τῷ κόπῳ κατευνήθη.

μετὰ δὲ μικρὸν ἐξαναστὰς τοῦ ὕπνου
ἐναιτιάζων κατεμέμφετο θαλάσσῃ,
φάσκων ἀπατᾶν πρᾳότητι τοὺς ναύτας·
„ὄψει γε μούνῃ θην δοκεῖς γαληναίη,
„δεχθεῖσα δ' αὐτοὺς κύμασιν καταφθείρεις."
ἡ δὲ πρὸς αὐτὸν τοιάδ' ἀνταπημείφθη·
„ὦ οὗτος οἶδμα πόντιον περῶν ναῦτα,
„μὴ δῆτ' ἔμοιγε, τοῖσι δ' ἀνέμοις μέμφου.
„ἐγὼ δέ τοι πέφυκ' [ἐς] ἀεὶ γαληναίη,
„οἵαν ὁρᾷς πέλουσαν τήνδε καθ' ὥρην.
„αἴφνης δ' ἐκεῖνοι προσπεσόντες λαβρώδεις
„ἐξαγριοῦσι τὴν κυμῷ θαλασσαίην."
Τοῖς δρῶσιν, οὐχὶ τοῖς ἀναιτίοις, μέμφου.

23.

(ΑΛΩΠΗΞ ΚΑΙ ΠΙΘΗΚΟΣ.)

Ἐκκλησίην κήρυττε πᾶσι τοῖς ζώοις
ὄνος βαρύφωνος κἀγέρωχον ὀγκάζων.
ὁμήγυρις δ' ἦν ὡς ἄνακτ' ἀναρρῆσαι,
ὃς ἂν δικαίως ἀλόγων δυναστεύσῃ.
πίθηξ δ' ἐν αὐτοῖς εὐκρότως ἀνορχεῖται,
κἀνηγορεύθη κοίρανος [πίθηξ] ζώων.
φθονεῖ δ' ἀλώπηξ, καὶ τοδὶ πανουργεύει.
κρέας θεήσασ' ἐμπεπαρμένον λίνοις,
ἀπῆγε τὸν πίθηκον εἰς δόλον πάγης,
εὑρηκέναι τ' ἔλεξεν ἄπλετα πλούτη,
γέρας προσῆκον ἄναξι, τεθμὸν ἀνθρώπων.
πίθηξ πεπαγίδευτο. κερδὼ καγχάζει·
„εἶτ', ὦ πίθηκε, τοῖος ὢν δυναστεύσεις;"
Πράττων ἀνήκοντ', ἴσθι μὴ κακῶς πράξων,
ὑπέρβιον δὲ παμμέγα βλάβος δώσεις.

[redacted]

24.

(*ΖΕΥΣ, ΠΡΟΜΗΘΕΥΣ, ΑΘΗΝΑ ΚΑΙ ΜΩΜΟΣ.*)

ὺς καὶ Προμηθεὺς καὶ Τριτωγενὴς κούρη
ιστος ἐγνώκεισαν ἕν τι ποιῆσαι·
ῦρον μὲν ὁ Ζεύς, ὁ Προμηθεὺς δ' ἀνθρώπους,
ον δ' Ἀθηνᾶ· χὴ κρίσις ἐπὶ Μώμῳ.
ὲ φθονήσας πᾶσι τοῖς θεῶν ἔργοις,
Ζεὺς μὲν ἡμάρτηκεν, εἶπε, τοῦ ταύρου
έον κέρατ' ἄνωθεν ὀμμάτων θεῖναι,
ὐτὸς ὑπέθηκε ταῦτα τῶν κερῶν κάτω.
δὲ Προμηθεύς, ὡς φρένας ἀνθρωπείας
ξωθεν οὐκ ἤρτησ', ὅπως πονηρεύων
ηδεὶς λάθοι κἄτ' ἐμφανὴς καθεστήκοι,
που τις ὡς ἕκαστος ἐνδεὴς εἴη."
δὲ τὸ Τριτωγενῆος ἔσχεν ἀμώμως·
δει γὰρ αὐτὴν οἶκον ἀστάτως κτίζειν,
ροχοὺς ὑποθεῖσαν, ὡς, ἐὰν παροικήσῃ
ῶν τις πονηρῶν, ῥᾳδίως ἀποσταίη."
ύσατο Ζεὺς ἐν δίκῃ γε τῷ Μώμῳ,
ι φθονοῦντι τοῖς θεῶν καλοῖς ἔργοις.

* * * * *

Πολλὴ μέν, ὦ παῖ, τοῦ λόγου 'στὶν ἡ γνώμη,
ἄν σε ταύτης μηδαμῶς λάβοι λήθη.
γὰρ εὖ πράττουσι θεοὶ [τὰ] πρὸς ἀνθρώπους,
ι' οὐδὲ τούτων τοῖς κακηγόροις φειδώ.
δ' οὖν θεοί περ οὔτι Μῶμον ἀπέδραν,
ἂν βροτῶν τις οὐ πάθοι παρὰ μώμων;

25.

(*ΣΑΛΠΙΓΚΤΗΣ.*)

τις συνάγων λαὸν ἐς μάχην κῆρυξ,
ης ἄπειρος, ἀλλὰ καλὸν σαλπίζων.

ὅς γε κρατηθεὶς τοῖς λαβοῦσιν ἐξηύδα·
„μὴ δὴ κτάνητέ μ'· οὐδοτιοῦν ἐπεπράχειν.
„οὐ γάρ ποτ' αὐτὸς ἐν πολυκλόνῳ μάχῃ,
„ἀλλ' οὐδ' ἐμή τινα πώποτ' ἔκτανεν σάλπιγξ·
„κοὐδέν τι πλεῖον τῆσδ' ἐγὼ φέρω πλούτου.“
οἱ δὲ πρὸς αὐτὸν ταῦτα νηλεῶς ηὔδων·
„τούτου χάριν γε καὶ μάλιστα τεθνήξῃ·
„ἄναλκις αὐτὸς ἐς φόνον καλεῖς ἄλλους.“
Ὁ δρῶν ἐν οἷς τέθνηκα, κεῖνος ὁ κτείνων.

26.

(ΗΡΑΚΛΗΣ ΚΑΙ ΑΘΗΝΑ.)

Ἡρακλέης ὥδευέ ποτε στενὴν ῥύμην·
χαμαὶ δεδόρκει χρῆμ' ἐοικὸς ὂν μήλῳ,
ῥοπάλῳ τ' ἐπειρᾶτ' αὐτὸ κατεπιτρίβειν.
τὸ δ' οὖν παταχθὲν αὐτίκ' ἤρξατ' οἰδαίνειν.
ὡς δ' εἶδε πλεῖστον εὐθέως ἐπαυξῆσαν,
ἐπέκειτο μᾶλλον, τοῦτό γ' ἐν βίῃ παίων.
τὸ δ' αὖ φυσηθὲν εἰς μέγιστον ὠγκώθη,
ὁδόν τ' ἔφραξεν, οὐκ ἐῶν διαβαίνειν.
Ἡρακλέης θαύμαινεν, οἷον συμβαίη·
ῥίψας ῥόπαλον ἕστηκε· ποῖ γὰρ ἂν ἥει;
αἴφνης δ' Ἀθήνη τῷδ' ἐπῆλθεν ὀφθεῖσα·
„πέπαυσο κάμνων, Ἡράκλεις, καλῶς τ' ἴσθι,
„ἔρις τὸ φανθέν ἐστιν, ὃ βλέπεις ἤδη.
„ταύτην δ' ἄμαχον ἢν ἐᾷς, ὡς ἦν πρῴην,
„μενεῖ γ' ἀναυξής, ἐν δὲ ταῖς μάχαις οὕτως
„ὡς εἶδες ἐξογκουμένη κρατεῖ πάντων.“

27.

(ΗΡΑΚΛΗΣ ΚΑΙ ΠΛΟΥΤΟΣ.)

Ἡρακλέης κέκλητό ποτ' εἰς θεῶν δείπνους,
ἤδη θεωθεὶς ὁ πρὶν ἐν βροτοῖς ἥρως,



ϑεῶν ϑ' ἑκάστῳ προφρόνως συνωμίλει.
ιαὶ δὴ τελευτῶν Πλοῦτος εἰσεληλούϑει,
ἥρως δ' ἀπηξίωσε τῷδ' ἔτι φϑέγξαι,
μηδὲ προσειπεῖν ὥς γε πᾶσι τοῖς ἄλλοις.]
ὁ Ζεὺς ἐϑαύμασ', Ἡρακλέην τ' ἀνηρώτα,
τί δή ποτ' ἄλλους μὲν ϑεῶν προσειρήκοι,
μόνον δὲ Πλοῦτον οὐδὲ γρῦ προσφωνήσαι.
ὁ δὲ πρὸς αὐτὸν τοιάδε προσημείφϑη·
„ἔγωγε τοῦτον κἀπὶ γῆς ὢν ἐστύγουν,
„ὁρῶν ἀεὶ συνόντα τοῖσι πανούργοις."

28.

(ΡΟΙΑ ΚΑΙ ΜΗΛΕΑ ΚΑΙ ΒΑΤΟΣ.)

Ηριζε μηλέη τε καὶ ῥόη κάλλους,
ἑκατέρη δ' ἐνίστατο δυσμενεῖ γνώμῃ.
γείτων δ' ὑπῆρχε βάτος ἡ ἀκανϑόπληξ·
ἀκούσασ' ἔριδος εἶπε τῇσι κομπώδης·
„παυσώμεϑ' ἔριδος, ὦ φίλαι, περὶ κάλλους."
Μῦϑον λέγοις ἂν πρὸς μικρὸν ἐν ἀρίστοις
αὐτὸν ϑέλοντα μωρίᾳ παρεμβάλλειν.

29.

(ΟΔΟΙΠΟΡΟΙ ΚΑΙ ΚΟΡΑΞ.)

Ηισάν ποτ' ἄνδρες ἐπ' ἔργα τινὲς ἐκ κώμης·
κατ' οἶμον αὐτοῖς οὖσιν ἐξαπιναίως
κόραξ ἐπέπτη ϑατέρην πηρὸς γλήνην.
ὁ μέν τις αὐτῶν σφᾶς ἔφη 'πανακάμπτειν,
κὴ γὰρ τὸν οἰωνόν σφιν αἴσιον φαίνειν.
ὁ δέ τις πρὸς αὐτὸν οὐκ ἔφησ' ἄτερ μούσης·
„καὶ πῶς ἂν ἡμῖν αἴσιόν τι μαντεύσοι,

„ὃς τὴν ἰδίαν πήρωσιν οὐ προεγνώκει,
„ὅπως ἑαυτῷ τὰς κόρας προφυλάξοι;"

30.

(ΙΚΤΙΝΟΣ ΚΑΙ ΟΦΙΣ.)

Ἰκτῖνος ἔπτη γῆθεν ὄφιν ἀναρπάσας,
ὁ δὲ στραφεὶς ἔκτεινεν εὐθέως πλήξας,
εἰπὼν πρὸς αὐτὸν λοίσθια πνέοντ' ἤδη·
„καὶ τί πεπονθὼς τοῖον ἐξεφρενώθης,
„ὑφ' οὗ πρὸς οὐδὲν ἐβλάβης, ἀδικῆσαι;
„ὅμως πέπονθας, ἃ δρᾶσαί μ' ἐβουλεύσας."

31.

(ΨΕΥΣΜΑΤΑ ΚΑΙ ΑΛΗΘΕΙΑ.)

Ἴλη ποτ' ἀγέρωχος ἤρχετ' εἰς κώμην,
τῶν ψευσμάτων ἄγερμα πάντα κρατούντων.
στολὴν μὲν εἶχε ποικίλην τε πορφύρην,
ἵπποι δ' ἐκοσμέοντο φαλάροις χρυσοῖς.
αὐτοῖς δ' ἐφείπετ' οὐλαμὸς ἀναιδείης,
δόλου τ' ἀπάτης τε καὶ πανουργίης πάσης.
καὶ δὴ συνεβόλησαν καθ' ὁδὸν κούρῃ·
λιτῶς μὲν ἤδ' ἔσταλτο τοῖς χιτωνίσκοις
καί πως πενιχρῶς, ἀλλά τι σεμνὸν ἐσχήκει·
ἦν δ' ἡ τάλαιν' ἄσιτος ἐκ χρόνου πλείστου.
προσεῖπε δ' αὐτὴν ψεῦσματ', ἠδ' ἀνηρώτα,
ποῖ γῆς τροχάζοι, καὶ χάριν τίνος βαίη.
ἡ δ' εἶπε· „σύγγνωτ', ἄνδρες, ἤν τι μὴ λέξω
„ἄσιτος οὖσα κἄποτος ἐκ χρόνου πολλοῦ."
τὰ δὲ πρὸς αὐτὴν ὧδ' ἠμείβετο ψεύδη·
„ἕπου μεθ' ἡμῶν· ἔστι πλησίον κώμη,
„μικρὰ μὲν οὖσα, εὖ δ' ἔχει 'πιτηδείων,

αὶ πανδοκεῖον ὄψ' ἔχον τὰ πρὸς θοίνην.
ιύνδειπνος ἡμῖν ἐλθὲ καὶ κορεσθήσῃ."
δ' ἠκολούθει τοῖσιν ἐν κατηφείῃ
πανδοκεῖον, κοὐδὲν αὐτοῖς εἰρήκει.
θοῦσι δ' αἶψα πανδοκεὺς παρεκτείνει
ιάπεζαν αὐτοῖς βρωμάτων καλῶν πλήρη.
αγόντες οὖν ἅπαντες ἐς κόρον θυμοῦ,
;πους χαλινώσαντες ἤθελον φεύγειν.
ʼτεῖ δ' ἐπιστὰς πανδοκεὺς τὰ τῆς θοίνης.
ὶ δ' ἠγανάκτουν οἷς ἐκεῖνος ἀπῄτει,
ιὶ δόντα μηδὲν εἶπε μηδ' ὅλως ὀφλεῖν.
ίτην ὁ δ' ἱκέτευε τέκν' ἀναιδείης·
ὶ δ' ἰταμῶς ἔφασκεν, ὡς πᾶν εἰλήφοι·
εδωκέναι γὰρ ἀξίως τὰ τῆς θοίνης.
ίτην τὰ δαῖτρα πανδοκεὺς ἐπεζήτει,
ʼκ ἦν δὲ πληθὺν πρὸς βίην ἀναγκάζειν·
ιὶ τί δ' ἂν ἔδρασ' εἷς ἐὼν ὅλην ἴλην;
ρίσταθ' ἡ σύνδειπνος ἐν πύλης βηλῷ,
ιιν βλέπουσα, καί τ' ἄναυδος εἱστήκει.
δαιταλεὺς δὲ τοῦ λαβεῖν ἀπεγνώκει,
ιῶν τ' ἔφησε· „ποῦ σύγ' εἶσθ', ἀληθείη;"
δ' εἶπ'· „ἄνερ, πάρειμι· τί δὲ ποιήσω;
τροφῆς ἐγὼ γὰρ οὐδ' ὅλως ἄνευ τούτων
καὐτὴ μέτεσχον, καὶ πάλαι γ' ἐτεθνήκειν.
μὰ τοὺς καθ' ὑμᾶς νῦν ἐόντας ἀνθρώπους
οἳ χαίρετε ψεύδεσσι κοὐκ ἀληθείῃ,
ἀλλ' ἔρρετ' οἰμώξοντες ἐργάται τούτων."

32.

(ΛΕΩΝ ΚΑΙ ΚΑΠΡΟΣ.)

ιάπρος τε καὶ λῖς ἦλθον ἀμφότερ' εἰς κρήνην·
έρους γὰρ ὥρῃ πάνθ' ἁπλῶς λυπεῖ δίψα,

γένη τε καὶ ζῷ' ἠδὲ φυτὰ κἀνθρώπους.
ἤριζον οὖν, τίς πρῶτος ὕδωρ πίοι.
ἔρις δὲ λυγρή, κεἰς φόνους ἂν ἠλάκει,
εἰ μὴ καμόντες τῆσδε μικρὸν ἀπέσταν,
λαβεῖν ἀναψύχωσιν εἰς ἀναμάχην,
δεινόν τι προσβλέποντες ἀντίον ἀλλήλοις.
ὅμως δὲ γῦπας ἑωράκεσαν ἐξαίφνης,
οἵπερ ἄνωθεν τὴν ἔριν παλευόντων
βλέποντες ἀνέμιμνον αἴσιον θοίνην·
τὸν γὰρ πεσόντα βρῶμα θυμαρὲς θήσειν.
τούτους ἰδόντες οἱ καμόντες ἐκ πάλης,
„δεῦρ' ἴθι, μάχης λήγωμεν, εἶπον, ἀλλήλων·
„φίλους γὰρ εἶναι κρεῖσσον ἢ γυψὶν θοίνην."
Οὕτω μέν, ὦ παῖ, καὶ σὺ φεῦγ' ἔριν λυγρήν.
ἀεὶ γὰρ αὕτη δώματα καὶ πόλεις φθείρει.

33.

(*ΚΟΡΑΞ ΚΑΙ ΚΥΚΝΟΣ.*)

Κύκνου κόραξ τις τῇ χρόῃ παρεζήλου,
τοῦτον νομίσας λευκόχροουν γεγενῆσθαι,
* * * * * *
εἴ γ' ἐν λίμναισι καὶ ποταμοῖς ἐπιπλώῃ,
ἀφῆκε βωμούς, ἔνθα σῖτον ἐσχήκει,
κἀπὶ δίαιταν ἦλθε λιμναίην κύκνου.
χρόην μὲν οὐκ ἤμειψε σῶμα φαιδρύνων,
τροφῆς δ' ἀμοιρῶν ἐξόλωλε λιμώττων.
[*Δίαιτα φύσιν οὐδαμῶς μεταβάλλει.*]

34.

(*ΚΥΩΝ ΚΑΙ ΚΟΧΛΟΣ.*)

Κύων τις ᾠὰ καταπίνειν εἰώθει·
ἰδὼν δὲ κόχλον ᾠὸν αὐτὸν φήθη,

ʼ δὴ παρ' αὐτὰ καὶ χανὼν καταπίνει.
ϰρούμενος δὲ κοιλίῃ τε καὶ σπλάγχνοις,
ἔγωγ', ἔφη, δίκαια ταῦτα νῦν πάσχω,
στρογγύλα πάνθ' ἡγούμενος ᾠὰ τυγχάνειν.“
Τἀληθὲς αἱροῦ, μηδ' ὅπερ καλὸν δόξῃ.

35.

(ΤΑΥΡΟΣ ΛΕΑΙΝΑ ΚΑΙ ΣΥΣ ΑΓΡΙΟΣ.)

ζοιμώμενον λέοντα ταῦρος εὑρήκει·
ύψας κέρασι τοῦτον εὐθέως κτείνει.
ιήτηρ δ' ἐπῆλθε καὶ τὸν υἷ' ἀπεθρήνει.
ύαγρος αὐτῆς ἦκο' αἰνὰ θρηνούσης,
ιαὶ στὰς ἄπωθεν ταῦτ' ἔφη· „πόσαι δ', οἴει,
‚ἄλλαι τεκοῦσαι σφέτερα τέκν' ὀδύρονται,
ἅπερ κτανόντες ἴσχεθ' ὑμέες θοίνην;“
Δράσαντα κακὸν ἴσθι καὶ δίκην δώσειν.

36.

(ΚΩΝΩΨ ΚΑΙ ΛΕΩΝ.)

ώνωψ προσελθὼν εἶπε λέοντι κομπάζων·
οὐδὲν φοβοῦμαί σ', οὐδ' ἐμοῦ πλέον δύνῃ.
τίς δ' ἐστὶν ἰσχύς, ὃς ὄνυξί τε ξύεις,
κὠδοῦσι δάκνεις; καὶ γυνὴ τόδ' ἂν πράττοι,
ἀνέρι γ' ἐριδαίνουσα τάχα τηνάλλως.
ἐγὼ δὲ λίην δυνάμει σ' ὑπερπαίω.
εἰ δ', ἐλθέ, πειρήσωμεν ἀμφοῖν ἰσχύος.“
ιὶ σαλπίσας κνὼψ ἐμπέπηγεν ἀτρίχοις,
ινάς τε καὶ πρόσωπα δάκνων λεοντείας.
λὶς δὲ τοῖς ὄνυξιν αὐτὸς ἐδρύφη
μοσταγῆ πρόσοψιν, ἄχρις ἀπέγνω.
ἴλιγγι κώνωψ ᾖδε τἀπὶ τῆς νίκης,

χῖπτατο χαίρων, τὸν λέοντα νικήσας.
ἱστῷ δ' ἀράχνης ἐμπλακεὶς ἔφη· „τλήμων
„νικῶν μεγίστους πρὸς μικρῶν ἀποθνήσκω."
Κἂν τἀσθενές τι δρᾶν ἔδοξε πρὸς κρείσσους,
ὅμως δίκην δέδωκεν οἷσιν οὐκ ἔγνω.

37.

(ΧΕΛΙΔΩΝ ΚΑΙ ΚΟΡΩΝΗ.)

Λάλος χελιδὼν πρὸς κελάρυζαν ἐξηύδα·
„ἔγωγε κούρη βασίλισσ' Ἀθηναίη,
„καὶ τῶν Ἀθηνῶν θυγάτηρ βασιλήων·
„κλέος μέγιστον εἶχον ἀνέρες κεῖνοι."
ὡς δ' ἄκριτ' ἐκώτιλλ', οὖσα καὶ λαλιστάτη,
καὶ Τηρέως τε τὴν βίην κατατείνει,
* * * * * *
πρὸς ἣν κορώνη τοιάδε προσημείφθη·
„ὢ Πανδιωνὶς καὐχέουσ' Ἀθηναίη,
„τί δ' οὐκ ἂν εἶπες μὴ 'στερημένη γλώσσης,
„ὅπου γε τμηθεῖσ' ἡλίκον τιτυβίζεις;"

38.

(ΛΑΡΟΣ ΚΑΙ ΙΚΤΙΝΟΣ.)

Λάρος ποτ' ἰχθὺν ἐκλαφύσας ἐφράχθη
βαθὺν φάρυγγα, καὶ πεσὼν ἐτεθνήκει.
ἰκτῖνος εἶδε, „κἀνδίκως, ἔφη, πάσχεις,
„ἔχων δίαιταν πτηνὸς ὢν θαλασσαίην."
Ἔδει τὰ σαυτοῦ, μηδὲ τά γ' ὑπὲρ πράττειν·
ὃ γὰρ πέφυκας οὐκ ἂν ὠλέκοις δράσας.

39.

(ΙΠΠΟΣ ΚΑΙ ΕΛΑΦΟΣ.)

Λειμῶνα κατ' εὐάνθεμον ἠρινῆς ὥρης
ἄφετος ἔβοσκεν ἵππος εὐτρίχου χαίτης.



ι ἐβούλετ' οὐδὲν ἄλλο τῶν ζώων
ιετασχεῖν ἧσπερ αὐτὸς βιβρώσκει.
ο λειμῶν' οἱ μόνῳ προσανήκειν.]
ς δέ τις, καίτοι πέλουσα δειλήμων,
ιρατρώγουσα θαμὰ τῆς ποίης.
* * * * *
ͻ τρόπῳ σκέπτετ' ἔλαφον τιμωρήσειν.
ͻπον εἶδε, καὶ κέχρητο συμβούλῳ.
τοῖμος εἶναί φησίν οἱ βοηθήσειν,
χρ' ἐκείνης ἀξίαν γε λήψεσθαι
, ἐὰν χαλινὸν αὐτός [τε] δέξηται,
:την τ' ἄνθρωπον ὢν ἐπὶ νώτων.
ν ἵππος, καὶ τὰ νῦν γε δουλεύει.
α δέ μοι τὸ φίλαυτόν ἐστιν ἡλίκης ἄτης.

40.

(ΛΕΩΝ ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

νοσήσας ἐν σπέει κατεκλίνθη.
ίαν οὖν ἅπαντα τἄλλα τῶν ζώων,
ͻπήσονθ' αὑτέων βασιλῆα·
δ' ἀλώπηξ ὑστέρησε τῶν ἄλλων.
ρίης μὲν οὖν λύκος τυχὼν ταύτης,
:κος κατεῖπε πόλλ' ἐπιβούλως,
παρ' οὐδὲν τιθεμένης τὸν δυνάστην
ἁπάντων, ἅπερ ἡ γέη φέρβει,
παρεῖναι πρὸς παραίφασιν νούσου
' ἐοῦσαν καὶ πεπνυμένην γνώμῃ.
ῦ λύκου λέγοντος ἵκετ' ἀλώπηξ,
σεν αὐτοῦ ῥημάτων τελευταίων.
δὲ θυμῷ κατέσεισε τὴν χαίτην,
ἀλώπεκ' εἰσιοῦσαν εἰς ἄντρον.
δ' ἀλώπηξ οὐδαμῶς ἐδειδοίκει,

ἀλλ' οἱ μεταδοῦναι καὶ λόγον τ' ἐλιπάρει,
τυχοῦσα δ' εἶπε, καὶ λύκος παρειστήκει·
„καὶ τίς σε, βασιλεῦ, τῶν ἀφιγμένων ζώων
„τοσοῦτον ὠφέλησεν, ὡς ἔγωγ' αὕτη;
„πᾶσαν γάρ, φήμ' ἐγώ, περιῆλθον χώρην,
„καὶ πάντ' ἰητρὸν σοῦ πέρι διηρώτων,
„εἴ πως μάθοιμι παρά του θεραπείην.
„ἐξεῦρον ἀλλ' οὖν, κοὐ μάτην ἐκεκμήκειν·
„φασὶ τῶν ἰητρῶν οἱ μαθόντες ἐκ πείρης·
„ἄκος ἐνεργὸν τοῦ νοσοῦντος ἔσσεῖται,
„ἢν ζῶντα τὴν δορὴν λύκου τιν' ἐκδείρας
„θερμὴν ἐοῦσαν σὸν δέμας περιβάλλῃ."
παρ' αὐτὰ νεκρὸς κεῖτο συκοφαντήσας
λύκος, παθὼν δίκαια τῆς κακῆς γνώμης.
γελῶσ' ἀλώπηξ εἶπεν· „ὦ λύκος τλήμων,
„ἔδει σε τὸν λῖν μὴ κακῶς παραπείθειν,
„ἀλλὰ πρὸς ὀρθὴν καὶ φιλόφρονα γνώμην.
„ὁ γὰρ κατ' ἄλλου κακὸν ἐκτολυπεύων
„κεῖνος πρὸς αὐτὸν ἀντεπιστρόφως βαίνει."

41.

(ΛΕΩΝ ΠΡΟΜΗΘΕΥΣ ΚΑΙ ΕΛΕΦΑΣ.)

Λέων Προμηθεῖ κατεμέμφετ' ἀλήκτως,
ὅτι μέγαν μιν καὶ καλὸν πεποιήκει,
καὶ τὴν γένυν μὲν τοῖς ὀδοῦσιν ὁπλίσας,
πόδας δὲ τοῖς ὄνυξι κατακρατύνας,
ἠδ' ἄλκιμόν τε θηρίων πλέον πάντων,
„τοιοῦτον ὄντα πῶς πτοεῖ με δ' ἀλέκτωρ;"
ὁ δὲ Προμηθεὺς πρὸς λέοντ' ἀπημείφθη·
„τί δὲ μάτην με, θηρίον, καταμέμφῃ;
„τά γ' ἐξ ἐμοῦ γὰρ πάντ' ἔχεις κατὰ μοῖραν
„εἴπερ δὲ θυμός τι μικρὸν ἐμαλακώθη,



αυμαστὸν οὐδέν, εὖ τυχών γε τῶν ἄλλων."
:όντος αὐτῷ τοῦ Προμηθέως οὕτως,
ων ἐταλάνιζεν αὐτὸν τῆς μοίρης,
ὶ τῆς ἑαυτοῦ δειλίας κατεγνώκει,
λ' οὐδ' ἐβούλετο δειλὸς ὢν ἔτι ζώειν.
ων δὲ γνώμης ὧδ', ἐλέφαντι συνήντα,
ὶ τῷ προσειπὼν συνομιλῶν εἱστήκει.
ῶν δέ θαμὰ τοῦτον ὦτα σείοντα,
:ί δὴ πεπονθὼς ὦτ' ἀεὶ κινοῦντ' ἴσχεις;
:ίν', ὦ φέριστε, σύ γε, φησί, τῶν ζώων
ροβῇ τοσοῦτον, ὡς ἀκοὴν τεὴν σείειν;"
φνης κώνωπα συνέβη περιπτῆναι.
ὁρᾷς τὸ μικρόν, φησί, καὶ περιβομβοῦν;
ἢν εἰσδύῃ μου τὸν ἀκοῆς ὁδόν, θνήσκω."
έων ἀκούσας ταῦτα φησὶ θαρσήσας·
τίνος χάριν δὲ βούλομαι θανεῖν ἤδη,
ἐλέφαντος αὐτοῦ τυγχάνων πολὺ κρείττων;
ὅσον δ' ἀλέκτωρ συγκρίσει γε κωνώπων,
τοσοῦτον αὐτὸς κρείττονος πέλω μοίρης."
„Οὐδεὶς καθ' αὐτὸν τάλας, ἀλλὰ παρβλήδην·"
αλαίφατος πέφυκε πάνσοφος γνώμη.

42.

(ΤΑΩΣ ΚΑΙ ΓΕΡΑΝΟΣ.)

ιβυσσα γέρανος ἠδὲ ταὼς εὐπήληξ
ωρὴν ἀεὶ βόσκοντο χείματος ποίην.
ως μὲν ἦσαν εὐμενεῖς πρὸς ἀλλήλω,
ις δὲ λυγρὴ δυσμενεῖς πεποιήκει,
ριζε τεφρῇ χρυσόταρσος εὐχροίης,
ὼς γεράνῳ καταγελῶν ἐκωμῴδει,
ὶ κατεμυκτήριζε τῆσδε τὴν χροίην.]
τὸς λέγων χρύσειον ἠδὲ πορφύρης

ἔχειν πτέρωμα, καθάπερ τις ἀνάκτων.
*   *   *   *   *   *
ἡ δὲ πρὸς αὐτὸν καλὸν ἀνταπεκρίθη·
„καὶ μὴν ἔγωγ' ἐφίπταμαι νεφῶν ὕψη,
„ἔγγιστα φωνῶν ἀστέρων σελασσόντων·
„σὺ δ' οὖν σχολαίῃ κἀσθενεῖ βάσει βαίνων
„χαμαὶ πτερύσσῃ, κοὐδ' ὅλως ἄνω φαίνῃ,
„μετ' ἀλεκτορίσκων ὡς ἀλέκτωρ κοκκύζων.“
Εὔδοξος εἴην εἵματι τριβωνείῳ,
ἢ ζῶν ἀδόξως γαυριῶν τ' ἐπὶ πλούτῳ.

43.

(ΛΥΚΟΣ ΚΑΙ ΟΝΟΣ.)

Λύκους λύκος τις ἐκστρατηγέων ἄλλους
ἔλεξε, πᾶσι θεσμὸν ἴσον ἐντάξας,
ὅπως τις αὐτῶν ὅ τι ποτ' οὖν κυνηγήσας
εἰς μέσσον ἄγῃ πρὸς διανομὴν ἄλλοις.
ὄνος δ' ἀκούσας ἀνέσεισε τὴν χαίτην,
γελῶν δ' ἔλεξε τῷ δοτῆρι τῶν ἴσων·
„καλῶς μὲν εἶπας, τοῖς λύκοις θεμιστεύων·
„πῶς δ' αὐτὸς ἐχθὲς ἣν ἐθηράσω δαίτην
„ἀπέθου λαθραίως τῇ παρὰ σοὶ κοίτῃ;“

44.

(ΛΥΚΟΣ ΚΑΙ ΛΕΩΝ.)

Λύκος πλανηθεὶς ἐν τόποις ἐρημαίοις,
κλίνοντος ἤδη πρὸς δύσιν τοῦ φωστῆρος,
ὁρῶν σκίην τε δουλίχην ἑὴν οὖσαν,
„λέοντ', ἔφη, δέδοικ', ἐὼν πολὺ μείζων,
„πλέθρου δ' ἔχων τὸ μῆκος, οὐχὶ τῶν ζῴων
„αὐτὸς δυνάστης τῶν ὅλων γενήσομαι;“

ικον δὲ γαυρωθέντα λὶς ἐφορμήσας,
κὶ συλλαβὼν κατήσθι᾽· ὃς δ᾽ ἐκεκράγει·
οἴησις ἡμῖν αἰτίη γ᾽ ἀπωλείας."

45.

(ΛΥΚΟΣ ΚΑΙ ΠΡΟΒΑΤΟΝ.)

ἰύκος κύνεσσι δηχθεὶς ἦν νοσηλεύων.
* * * * *
ἰν περῶσαν, ᾔτει τήνδ᾽ ἄκος δίψης·
ν γὰρ πίδαξ τις πλήσιον ῥέων ὕδωρ.
εἰ γὰρ σὺ βούλει νᾶμα, φησί, μοι δοῦναι,
αὐτὸς ἑτοίμην καὶ τροφὴν προσευρήσω."
* * * * *
ἀλλ᾽ ἢν ποτόν σοι δῶ, σὺ καὶ τροφήν μ᾽ ἕξεις."
Ἐχθροὺς ἐνεδρεύοντας ἀεὶ τάχος φεύγειν.

46.

(ΚΟΛΟΙΟΣ ΚΑΙ ΚΟΡΑΚΕΣ.)

Μεγέθει κολοιὸς ὑπερεῖχε τῶν ἄλλων,
ὑπερφρονήσας τῶν ἑαυτοῦ συμφύλων
ροείλετο τοῖς κόραξι φυλέτης εἶναι.
αὶ δὴ προσελθὼν ἠξίου διαιτᾶσθαι
μοῦ σὺν αὐτοῖς, ὡς σύναυλος ἀπ᾽ ἴσων.
ἱ δ᾽ ἀγνοοῦντες εἶδος, οὐδὲ τῆς φωνῆς
παΐοντες τοῦδε τῆς ὁμοφθόγγου,
αίοντες ἐξέωσαν αὐτὸν ἐν τάχει.
θεν διωχθεὶς πρὸς ἰδίους ἐπανῄει.
ἱ δ᾽ ἀγανακτήσαντες οἷσπερ ἀπέστη, —
βριν γὰρ ᾠήθησαν ἃ πεποιήκει, —
πηξίωσαν αὐτὸν ὑποδεχθῆναι.
ὕτω κολοιὸς ἀγενὴς καθεστήκει.
Οὐδεὶς παρ᾽ ἀλλοτρίοισιν εὐδοκιμήσει.

47.

(*ΜΥΙΑΙ.*)

Μέλιτος ἐκχυθέντος ἐν ταμιείῳ
κατήσθιον τοῦθ' αἱ περιπτᾶσαι μυῖαι.
ἡδὺς δ' ὁ καρπὸς οὐκ ἐᾷ φυγεῖν ταύτας,
οὐδ' ἠδύναντο πάλιν αὖ ἀναπτῆναι,
δεινῶς ἐν αὐτῷ τῶν ποδῶν κρατηθέντων,
κἄφασκον ἀποπνιγόμεναι πρὸς ἀλλήλας·
„αἲ δύσμοροι θανούμεθ' ὑπὸ βραχείης
„φεῦ ἡδονῆς οἴκτιστον ἐκπλανηθεῖσαι.“

48.

(*ΜΗΝΗ ΚΑΙ ΜΗΤΗΡ.*)

Μήνη ποθ' ἱκέτευε μήτερ' αἰδοίην,
ὅπως ἑαυτῇ σύμμετρον χιτωνίσκον
ὑφάνοι· πρὸς ἣν μειδήσασ' εἶπεν ἡ μήτηρ·
„καὶ πῶς χιτὼν σύμμετρος ἂν ὑφανθείη
„ὧδ' ἀστατούσῃ; νῦν μὲν οὖν ὑπερφαίνῃ,
„πάμμηνος οὖσα· πλησιφαὴς δ' ἐπὶ τούτῳ·
„ἔπειτα δ' ἀμφίκυρτος ἠδὲ μηνώδης·
„ἀεὶ γὰρ αὔξεις φθινύθεις τε παμμήνως.“

49.

(*ΜΥΣ ΚΑΙ ΒΑΤΡΑΧΟΣ.*)

Μῦς ἐξ ἀρούρης βατράχῳ κακῇ μοίρῃ
ἐφιλιώθη, καὶ κακῶς ἐτεθνήκει.
τὸ πρῶτον ἦλθον δεῖπνον εἰς ἀρουραίου,
ἔπειτ' ἀπῆλθον βατράχου πρὸς οἰκήσεις.
ὁ βάτραχος δ' οὖν οὐ καλῶς ἐβουλεύθη·
λίνῳ γὰρ ἑαυτῷ τὸν μυὸς πόδα συνδήσας
ἀπῆγε τὸν μῦν χεῖλος εἰς τὸ τῆς λίμνης,



καθείλκυσ' ἐς βάθη τὰ λιμνώδη.
υσηθεὶς νάμασιν ἀπεπνίχθη,
δ' οὕτως ἐκ δεσμοῦ·βατραχείου.
ίως οὖν φορούμενον σάλῳ
ἰδὼν τοῖς ὄνυξιν ἁρπάζει.
ραχος δ' ὁμοῦ συνείλκεθ' ὁ δεσμώτης,
' τε δεῖπνον ηὐτρέπισεν ἰκτίνῳ,
ν οὕτω τἀπίχειρ' ἀβουλείης.

50.

(ΝΕΟΣ ΑΣΩΤΟΣ ΚΑΙ ΧΕΛΙΔΩΝ.)

ς ἄσωτος καταφαγὼν τὰ πατρῷα,
τε καὶ μόνου περιλειφθέντος,
› εἶδεν ἀμφιποτῶσαν ἀώρως.
δ' ἀκούσας μικρὰ τιττυβιζούσης,
)σελθεῖν ᾤετ' ἠρινὴν ὥρην,
υ τε μηκέτι δεήσεσθαι,
τ' ἀπημπόλησε καὶ τόδ' ὡς τἄλλα.
μικρὸν χειμάτων ἐπελθόντων,
)δροῦ πνεύσαντος ἀνεμοῦ [τ'] αἴφνης,
χελιδὼν τῷ ψύχει γ' ἐτεθνήκει.
δὲ νεκρὰν κατιδὼν νεηνίης,
', ἔφησεν, οἷα δὴ κατειργάσω,
νεῖσα πρὶν ἔαρ ἐποφθῆναι,
τ' ὄλωλας κἀμ' ἀπώλεσας μάτην.“
τίη κάκιστον ἠδ' ἀβουλείη.

51.

(ΖΕΥΣ ΚΡΙΤΗΣ.)

γράφοντ' ἐν ὀστράκοισιν Ἑρμείην
πονηρῶν τὰς ἁμαρτάδας πάσας

ἐκέλευσεν εἰς κιβωτὸν αὐτὰ σωρεύειν,
καλῶς ἁπάντων βίοτον ἐξερευνήσας
ὅπως ἑκάστου τὰς δίκας ἀναπράσσῃ.
τῶν ὀστράκων δὲ κεχυμένων ἐπ' ἀλλήλοις,
τὸ μὲν βράδιον, τὸ δὲ τάχιον ἐμπίπτει
εἰς τοῦ Διὸς τὰς χεῖρας, εἴποτ' εὐθύνοι.
τῶν οὖν πονηρῶν οὐ προσῆκε θαυμάζειν,
εἰ θᾶσσον ἀδικῶν ὀψέ τις δίκην δώσει.

52.

(ΟΔΟΙΠΟΡΟΣ ΚΑΙ ΑΛΗΘΕΙΑ.)

Ὁδοιπορῶν ἄνθρωπος εἰς ἐρημαίην
ἑστῶσαν οἵην εὗρεν ἐν κατηφείῃ
σεμνὴν γυναῖκ', ἀλλ' οὐ δοκοῦσαν εὖ πράττειν.
καί φησιν αὐτῇ· „τί πέπονθας, ἀρίστη;
„καὶ τίς ἂν εἴης; ὧδε τοῦ χάριν μίμνεις;“
„ἐγὼ μέν, εἶπεν, εἰμί σοί γ' Ἀληθείη.“
πρὸς ταῦτ' ἐθαύμασ' ὁδοίπορος, κἀνηρώτα·
„τί πόλεις ἀφεῖσα τὴν ἐρημίην ναίεις;“
ἡ δ' εὐθὺ πρὸς ταῦτ' εἶπεν ἡ βαθυγνώμων·
„ἐν τοῖς πάλαι γὰρ παρ' ὀλίγοισιν ἦν ψεύδη,
„νῦν δ' εἰς βροτοὺς ἅπαντας εἰσεληλούθει.
„εἰ δ' ἐστὶν εἰπεῖν καὶ βεβούλησαι κλύειν,
„ὁ νῦν βίος πονηρός ἐστιν ἀνθρώπων.“

53.

(ΟΙΣ ΚΑΙ ΚΥΩΝ.)

Ὄϊς νομῆα τοιάδε προσεξηύδα·
„κείρεις μὲν ἡμᾶς καὶ πόκους ἔχεις κέρσας,
„γάλα δ' ἀμέλγειν ἔστι, κεἰ φίλον, πῆξαι·
„ἡμῶν δὲ τέκνα μῆλά σοι περισσεύει.

ὺν ὁδηγεῖς πρὸς μόνην νομὴν ἧμας.
ὰρ ἡμῖν οὐδέν· ἀλλὰ καὶ φορβὴν
φέρει σοι γῆ τιθηνὶς ἁπάντων.
ς ὄρεσσιν εὐθαλές τι γεννᾷ σοι
ς αἶα σῶν ἄπειρος οὖσ᾽ ἔργων,
ε νοτίης καὶ δρόσου πεπωκυῖα.
δ᾽ ἡμῶν ὠφέλημα λαγχάνων,
ὺ φέρβεις τὴν κύν᾽ ἐν μέσοις ἧμιν,
, ὁποῖα σαυτόν, εὐθαλεῖ σίτῳ.“
δ᾽ ἤκουσ᾽ ἡ κύων, κἀπημείφθη·
βληχάζουσα κακόβουλον βάξιν,
αρήμην κἂν μέσαις ἐπωλούμην,
ποθ᾽ ὑμεῖς ἔσχετ᾽ ἄφθονον ποίην,
θοίνη θηρίοις ὀρειβάτοις.
χουσα παντόθεν δὲ κωλύω
ρα ληστὴν καὶ λύκον διωκτῆρα.“
ἀχάριστον εὖ ἔχει τὰ τοῦ μύθου,
ν κακηγοροῦντα πρὸς βλαβήν.

54.

(ΟΝΟΣ ΚΑΙ ΚΥΝΙΔΙΟΝ.)

έ τις καὶ κυνίδιον Μελιταῖον·
ἐν αὐλῇ παρὰ φάτναισι δεσμώτης,
κριθήν, χόρτον, ὥσπερ εἰώθει·
κύων ἤθυρεν εὐρύθμως παίζων,
ότην τε ποικίλως περισκαίρων.
αὐτὸν κατέχων ἐν τοῖς κόλποις
ἄθυρμ᾽ ἡδὺ παραμυθείης.
τλήμων τὴν μὲν νύκτα ἀλήθων
ίλης Δήμητρος, ἡμέρην δ᾽ ὕλην
ἀφ᾽ ὕψους ἐξ ὄρους ὅσων χρείη.
δὲ θυμῷ καὶ περισσὸν οἰμώξας,

σκύμνον θεωρῶν ἁβρότητί [τ'] ἐν πάσῃ,
φάτνης ὀνείης δεσμὰ καὶ καλῶς ῥήξας
ἐς μέσσον αὐλῆς ἦλθ', ἄμετρα λακτίζων.
*   *   *   *   *   *
τὴν μὲν τράπεζαν ἐς μέσον βαλὼν ἔθλα,
ἅπαντα δ' εὐθὺς ἠλόησε τὰ σκεύη,
δειπνοῦντα δ' ἐγγὺς ἦλθε δεσπότην κύσσων,
νώτοις ἐπεμβὰς καὶ ποσὶν κατατρίβων.
οἱ δ' οἰκέται βλέποντες οἷον ἐπράχθη,
τόλμης ὀνείης ἐσχάτου τε κινδύνου
[τὸν δεσπότην ἐν μέσοις ἅμ', ὡς εἶδον,]
ἐσάωσαν αὐτὸν παρ' ὀλίγον μαλαχθέντα.
κρανέης δὲ κορύναις ἄλλος ἀλλόθεν παίων
ἔκτεινον. ὡς δὴ καὐτὸς ὕστατ' ἐκπνείων
„ἔτλην, ἔλεξεν, οἷα χρή με, δυσδαίμων.
„τί γὰρ παρ' οὐρήεσσιν οὐκ ἐπωλεύμην;
„τί δὴ παθὼν ὥρμησα τὰ κύνος πράξων,
„βαιῷ δ' ὁ μελεὸς κυνιδίῳ παρισούμην;"
Οὐ δῆτα πάντες ἄρτιοί γε πρὸς πάντα,
οὔτε φθονούντων ἀσφαλῆ τὰ τῆς μοίρης.

55.

(ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

Ὄνος τις ἤσθετ' ἐσθίων ἀκανθώδη·
ἰδοῦσ' ἀλώπηξ μειδιῶσ' ἀνηρώτα·
„πῶς, ὦ φέριστε, σύγ' ἁπαλὴν ἔχων γλῶσσαν
„σκληρὴν ἐδωδὴν ἐσθίεις κἀκανθώδη;"
[πῶς οὐ πέπληγεν ἡ τεὴ γλῶσσ' ἀκάνθαις;]
καλῶς ἂν εἴποις ταῦτα τοῖσι φληνάφοις.

56.

(ΟΝΟΣ ΛΕΟΝΤΗΝ ΦΕΡΩΝ.)

; λεοντῆν ἐνδυθεὶς περιήει·
ον κατεπτόηντο τἄλλα τῶν ζώων,
τά τινα κοὐκ ὄνον νομιζόντων.
' δὲ κερδὼ κατεπείρα καὶ ταύτης,
φοβηθῇ χὠς τὰ λοιπὰ τῶν ζώων.
ἤγε κερδὼ τοῦτον ὡς ἑωράκει,
ιμένου γὰρ ἦκοε τύχῃ τινί,
πρὸς αὐτόν· „ἴσθι τοιγαροῦν οὕτως,
ιὴ βοῶντος πρὸ μικροῦ γ' ἐνωτίσθην,
:ή [τε] κἀγὼ παντελῶς ἐδειδοίκειν."

57.

(ΟΝΟΣ ΒΑΣΤΑΖΩΝ ΑΓΑΛΜΑ.)

ποτ' ἐπιθείς τι ξόανον κωμήτης
ινεν αὐτὸν εἰσάγων διὰ μέσσης
ης, ἁπάντων τὸ βρέτας προσκυνούντων.
δ' ἐπήρθη, καὶ θεῶν τις ᾠήθη
ς γενέσθαι, χὠς θεὸς προσκυνεῖσθαι.
ᾶτο δεινόν, ὦτά [τε] πρὸς τἄνω τείνων,
ξίου τε καὶ προσωτέρω βαίνειν.
λάτης δὲ ταῦθ' ὁρῶν κατωργίσθη,
τῷ ῥοπάλῳ τοῦτον ἤλασε παίων,
ος εἶ, λέγων, σύ, κεἰ θεὸν φέρεις ὤμοις."

58.

(ΟΡΝΙΘΟΘΗΡΑΣ ΚΑΙ ΚΟΡΥΔΑΛΛΟΣ.)

ιθοθήρης παγίδας πτηνοῖς ἵστη·
ιδὸς εἶδε τοῦτον, ἠδ' ἀνηρώτα·
τοῦδ' ὃ πράττεις ὧδε κατ' ἀγρὸν κάμνων;"

„ταύτην ἀρίστην, εἶπε, τὴν πόλιν κτίζω.“
εἰπὼν δὲ ταῦτ' ἀπῆλθεν ἠδ' ἀπεκρύβη.
πεισθεὶς κορυδὸς τοῖς λόγοισι τοῖς τούτου
προσῆλθεν εὐθὺ τὴν πόλιν κατοικήσων.
κἄλαθε ληφθεὶς ἐν βρόχοις παναγραίοις.
ὀρνιθοθήρης ἐκδραμὼν συλλαμβάνει.
ὁ γοῦν κορυδὸς συσχεθεὶς λέγει τούτῳ·
„ἐὰν πόλεις, ἄνθρωπε, τοιάσδε κτίζῃς,
„πολλοὺς ἐνοίκους αὐτὸς οὐχὶ καθέξεις.“
Οἶκοι μάλιστα καὶ πόλεις ἐρημοῦνται,
ὅταν κακῶς ἄρχωσιν οἷς ἐπετράπη.

59.

(ΟΦΕΩΣ ΟΥΡΑ ΚΑΙ ΜΕΛΗ.)

Οὐρή ποτ' ὄφιος ἠξίου προηγεῖσθαι,
ἕλκειν δὲ τἄλλα τῶν μελῶν ὀπηδούντων.
ἀπντεῖπεν αὐτῇ πᾶν τὸ σῶμ' ἀφραινούσῃ·
„πῶς ῥινὸς ἄνευ κώμμάτων ὁδηγήσεις,
„ἐναντίως τε πρὸς τὰ λοιπὰ τῶν ζώων;“
ἀλλ' οὐκ ἔπειθε· τὸ φρονοῦν ἐνικήθη.
οὐρὴ μὲν ἦγε, κῆρχεν ἀφρόνως ἄλλων,
σύρουσα τυφλὴ σώματος μέλη πάντα,
ἕως γε πετρῶν ἐς βάραθρα πεπτώκει·
ῥάχις, κάρη, πᾶν σῶμα δεινὰ πεπλήγει.
σαίνουσα δὴ τόθ' ἱκέτευε τὴν κάρην·
„δέσποινα σῶσον, λιπαρῶ σε, κινδύνου·
„ἅλις κακῆς γὰρ ἀπολέλαυκα τῆς γνώμης.“
Κάλλιστα δῆμον πρὸς παράνουν τόδ' ἂν εἴποις
ἄρχειν θέλοντα τῶν σοφωτέρων ἄλλων.

60.

(ΓΕΩΡΓΟΣ ΚΑΙ ΟΦΙΣ.)

ις γεωργοῦ πρὸς θύραις ἐμφωλεύων
κκε παιδὸς τὸν πόδ', ὃς κατεθνήκει.
γα δὲ πένθος τοὺς τεκόντας εἰλήφει.
πατὴρ δὲ δηχθεὶς συμφορᾷ 'πὶ τοιαύτῃ,
τραν λαβὼν ἐλήλυθεν παρὰ τρώγλην,
ιν τ' ἔμιμνεν ἐξίοντ' ἀποκτεῖναι.
ῆλθε δ' οὗτος τῆς ὀπῆς ἐπὶ θήρην.
θὺς δ' ὁ πατὴρ δεδρόμηκ' ἐπισπέρχων,
ερρῶς τ' ἐπ' αὐτὸν τὴν πέτραν ἐπιρρίπτει,
ιλῆς δ' ἁμαρτὼν ἀποτυγχάνει τούτου,]
ὐ καιρίως ἐπλῆξε τὸν φονευτῆρα,
ρῆς δὲ τἄκρον ἠλόησεν ἡ πέτρα.
ὶ δὴ φοβηθείς, μὴ τὸ θηρίον κτείνῃ
τόν [τ'] ἐκεῖνον εἵνεκεν τῆς οὐραίης,
βὼν ἄλευρον σὺν μέλιθ' ὁμοῦ χῦδωρ,
κάλει προσελθὼν τοὐρπετὸν πρὸς εἰρήνην.
δ' οὖν ὀπῆθεν λεπτὸν ὑποσυρίξας, —
ιγὼν γὰρ πληγεὶς εἰς ὀπὴν ἀπεκρύβη, —
γων ἔφησε τοιάδε τινὰ τἀνθρώπῳ·
ἕως σὺ τύμβον, τὴν δ' ἐγὼ βλέπω πέτραν,
ὐκ ἔσθ' ὅπως γένοιτο νῶιν εἰρήνη."

61.

(ΠΑΙΣ ΑΚΡΙΔΑΣ ΘΗΡΕΥΩΝ.)

αῖς τις συνῆγεν ἀκρίδας ἀρουραίας,
ιβὼν δὲ πολλὰς ὡς κατεῖδε σκορπῆα,
ριν νομίσας τήν τε χεῖρα κοιλήνας,
οιμος ἦν καταφέρων συναγρεύσειν.
δ' οὖν τὸ παιδὸς ἄκακον θεωρήσας,

ταῦτα πρὸς αὐτὸν ὧδέ φησι φωνήσας·
„ἄπελθε παῖ, παῖ, μηδ' ὅλως ἐμοῦ ψαύσῃς·
„εἰ οὖν μ' ἀγρεύσεις, ἄστ' ἔχεις ἀπορρίψεις."

62.

(ΠΑΙΣ ΚΛΕΠΤΗΣ ΚΑΙ ΜΗΤΗΡ.)

Παῖς συμμαθητοῦ δέλτον ἐκ διδασκάλου
ἤνεγκε κλέψας πρὸς τεκοῦσαν ἣν χαίρων.
ἐδέξαθ' αὕτη, κοὐκ ἔφη κακῶς πράττειν,
ἀλλοτρίοις [τε] χεῖρα μηδ' ἐπιβάλλειν.
νεηνίης δὲ τῷ χρόνῳ μαθὼν κλέπτειν
ἀπείχετ' οὐδὲ μειζόνων ἄλλων·
ἔθος δὲ τέχνη πολλάκις καθεστήκει.
καὶ δῆτα χἰρόσυλος οὗτος ἡλώκει
ἐπ' αὐτοφώρῳ, καὶ περιαγκωνισθεὶς
τοῖς δημίοισι τὴν ἐπὶ δίκης ἤχθη.
μήτηρ δ' ὁμαρτεῖ, δακρύει, στοναχίζει.
ὁ παῖς δ' ἐδεῖτο δημίων κατανεύσειν
πρὸς οὖς λέγειν τι λοίσθιον ἐνεγκούσῃ.
αὕτη δ' ἐπέστη, κοὖς ὕπεσχε τῷ τέκνῳ.
ὁ δὲ σφοδρῶς ἔδηξεν οὖς διατμήξας.
ταύτης βοώσης οἷα πρὸς τέκνου πάσχει,
καὶ τῶν παρόντων αὐτὸν αἰτιαζόντων
ὡς κεἰς τεκοῦσαν ἀσεβῶν ἑαλώκει,
οἷα πεπράκοι, παῖς ἔλεξ', „ὅμως αὕτη
„παραίτιός μοι τῆς ἀπωλίης· ταύτην
„ἔδει τὰ πρῶτα τῆς κλοπῆς ἀποτρέπειν.
„ἡ δ' ἀσμένως ἔδεκτο τὴν κλοπὴν δέλτου,
„καὶ νῦν ἐς Αἴδου δώματά με προπέμπει."

63.

(ΚΟΧΛΙΑΙ.)[1]

ιαῖς τις γεωργοῦ κοχλίας λαβὼν ὤπτα.
ὐτῶν δ' ἀκούσας, ταῦτά φησι, τρυζόντων·
,ῶ ζῷ' ἀφραίνοντ'· οἰκίαι 'πικαίονται,
,ὑμεῖς δ' ἀναβέβλησθέ συντόνως ᾄδειν."

64.

(ΠΡΟΜΗΘΕΥΣ ΚΑΙ ΑΝΘΡΩΠΟΙ.)

Πάλαι Προμηθεύς, — Ζεὺς γὰρ ἦν ἐπιτάξας, —
δημιούργει ζῷα, φασί, κἀνθρώπους.
ὁ Ζεὺς ἰδὼν δὲ ζῷα πλείον' ἀνθρώπων
ἐκέλευσεν αὐτὸν θηρίων τινὰ φύρειν,
καὶ ταῦτ' ἐς ἀνθρώπινον εἶδος ἀμπλάσαι.
ὁ δὲ Προμηθεὺς ἀνέφυρσε τὰ ζῴων,
βροτούς τ' ἀνέπλασ', οἷα Ζεὺς ἐβουλήθη.
συνέβη δ' ὅμως τοὺς πεφυρμένους οὕτω
μορφὴν μὲν εἰς ἀνθρώπινον μετηλλάχθαι,
γνώμην δ' ἀεὶ σώσαντας ἣν ἔσχον ἀρχαίην·
τῆς θηριώδους γὰρ πάλαι μεμοίρανται.

65.

(ΠΕΡΙΣΤΕΡΑ ΔΙΨΩΣΑ.)

Πέλεια διψῶσ' ἐς θέρους ἀκμὴν ὥρης
κρατῆρ' ἐσεῖδε νάματος ἐν πινακίῳ.
ἔδοξε δ' εἰκὼ χρῆμ' ἀληθείης εἶναι,
ῥοίζῳ δὲ πολλῷ τοῦδ' ἔπι κατηνέχθη.
ὅμως λαθοῦσα τῷ πίνακι προσερράγη,
πεσοῦσ' ἐπὶ γῆς, τῶν πτερῶν καταγέντων.
αἴλουρος αὐτίκ' εἶχεν ἄμογον θοίνην.
Πρὸς μηδὲν ὁρμᾶν ἔργον ἀπερισκέπτως·
πάθει γὰρ εἴκων ταχὺς ἂν κατωλώλεις.

66.

(*ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΠΕΡΔΙΞ.*)

Πέρδικ' ἀγρεύσας ἔσχε τις κυνηγήτωρ,
τοῦτον δ' ἔμελλε δόρπον εὐθέως θήσειν.
θρηνῶν δ' ὁ πέρδιξ ἱκέτευε μὴ κτείνειν·
„ζωόν μ' ἔασον, εἶπε, σύγε μὴ θύσῃς.
„ἐγὼ δέ σοι γὰρ πλῆθος ἄλλο περδίκων
„θήρην ἑτοίμην ἐν πάγαις τεαῖς θήσω.“
ὁ δ' εἶπε· „μὴ κακάβιζε, χαλίφρων πέρδιξ·
„καὶ γὰρ μάλιστα διὰ τοῦτ' ἐγὼ θύσω,
„ὅπως φίλων σῶν μὴ προδότης πάλιν γίγνῃ.“
Εἰς σαυτὸν ἕρπει πᾶν κακὸν τὸ κατ' ἄλλων,
ὅπερ τεχνάζῃ κακομηχάνῳ γνώμῃ.

67.

(*ΝΥΚΤΕΡΙΣ ΚΑΙ ΓΑΛΗ.*)

Πεσοῦσ' ἐπὶ γῆς νυκτερὶς συνελήφθη
γαλῆς ὑπ' ἐχθρᾶς τῶν πετεινῶν ἁπάντων.
μέλλουσ' ὑπ' αὐτῆς εὐθέως ἀναιρεῖσθαι
ἤδ' ἱκέτευε μηδαμῶς κατακτείνειν.
„μή σύ με θύσῃς, εἶπεν, ὦ γαλῆ φίλη.
„οὐ γάρ ποτ' οὐδὲν ἠδίκησ' ἐγὼ ζῷον.
„μεθ' ἡμέρην μὲν οὐκ ἔξειμι τῆς κοίτης,
„ὁπήνικα πρόεισι τἄλλα πρὸς θήρην.
„ἔξειμι δ' ἀεὶ κἀσέληνον εἰς ὄρφνην,
„ἔξουσ' ἐδωδὴν ἠέρος δροσοβρύτου.“
γαλῆ πρὸς αὐτὴν τοιάδ' ἀνταπεκρίθη·
„καὶ πῶς ἐγὼ λύσω σε, πολέμιος πτηνοῖς;“
„οὐ πτηνόν εἰμι, νυκτερὶς προσημείφθη,
„τετράπουν δ' ἐγώ σοι, καὶ τροφὴν ἔχον θήρην.“
τοῦτ' οὖν ἀκούσασ' ἡ γαλῆ παραλείπει.

ϑεῖσα δ' οὕτως οὐ μικροῦ γε κινδύνου
λῆς πρὸς ἄλλης καὶ πάλιν συνελήφϑη,
τη δ' ἔμελλεν, οἷα μῦν, καταβρώϑειν.
δ' ἱκέτευε, μὴ λέγουσα μῦς εἶναι,
σα πτερωτός, οἱ δὲ μύες ἀπτῆνες.
ὕτως ἐσώϑη διπλόου γε κινδύνου.

68.

(ΧΕΛΩΝΗ ΚΑΙ ΛΑΓΩΟΣ.)

ͅδῶν χελώνης κατεγέλα λαγωὸς πτώξ.
δὲ πρὸς αὐτὸν μειδιῶσ' ἀπημείφϑη·
ἐγώ σε τὸν ποδήνεμον παραϑρέξω."
ῦ μοι δοκεῖς, λαγωὸς εἶπ', ἀληϑεύειν·
μως ἔριξε, καὶ πόδας ἐμοὺς γνώσῃ."
τίς οὖν δὲ νῶϊν τέρμα καὶ γέρας δείξει;"
λυν' ἐπηρώτησεν ὠκύπουν λαγών.
ὸς ἦν ἐκεῖνος εἶπε, κερδόα βλέψας·
τούτων μελήσει κερδαλῇ βαϑυγνώμῳ."
δ' οὖν χελώνη, μηδ' ὅλως κατοκνοῦσα,
ίδην ἔβαινεν, ἀλλ' ὅρον κατειλήφει.
δ' αὖ λαγωὸς ὠκύτητι ϑαρσήσας,
νωττε, χῶρον ὡς πάλιν διαϑρέξων,
ως δ' ἀναστάς, εἶδε τὴν χέλυν τέκμωρ
καταλαβοῦσαν, κἂν μέρει καϑεύδουσαν.
Ἀμελῆ φύσιν νοῦς ἐπιμελὴς ὑπερβάλλει.

69.

(ΡΟΔΟΝ ΚΑΙ ΑΜΑΡΑΝΤΟΝ.)

όδῳ παραφυὲν ἀμάραντον εἰρήκει·
ῖον σύγ' ἄνϑος εὐπρεπὲς πεφύτευσαι,
ϑεοῖς ποϑητὸν ἠδ' ἐραστὸν ἀνϑρώποις.
ἐγὼ μακαρίζω σὲ τῆς τε σῆς ὀσμῆς,

„ἐφιμέρου τε καλλονῆς.“ τὸ δ' ἠμείφθη·
„ἐμοὶ μέν, ὦ ἀμάραντον, ὡς καλῶς ἔγνως,
„βαιῶς κέκλωσται λίνα μοι τὰ τῆς μοίρης.
„καὶ μὴ κοπὲν γὰρ οἰκόθεν καταρρεύσω.
„σὺ δ' ἀεὶ ἀνθεῖς, καὶ νέον τελοῦν ζώεις.“
 Ἐμοὶ γένοιτο καλὸν ὃ καθεστήκοι
[καί τοί γε μικρὸν ἢ μέγα τῶν ἀστατούντων.]

70.

(ΠΟΙΜΗΝ ΚΑΙ ΛΥΚΟΣ.)

Σκύμνον λύκου νεογνὸν εὗρέ τις ποιμήν.
λαβὼν δὲ τοῦτον ἔτρεφ' ἅμα κύνεσσ' οἴκοι.
οὕτω δὲ θρεφθεὶς τῷ χρόνῳ συνηυξήθη.
εἰ γοῦν ἐπήρχεθ' ἁρπάσων τι τῶν ἄλλων
λύκος τις ἀμνὸν ἢ ἔριφον ἐκ ποίμνης,
μετὰ τῶν κυνῶν ὅδ' αὐτὸς ἔτρεχ' ἐν πρώτοις,
ἐπιδιώκων τὸν θρασὺν ἁρπακτῆρα.
εἰ δ' οἱ κύνες θέοντες ἔσθ' ὅτ' ἀπηύδων,
κοὐκ ἠδύναντο τὸν ἅρπαγα καταφθῆναι,
ἀλλ' εἰς ἔπαυλιν ἔστρεφον παλισσύτως,
ἐκεῖνος εἵπετ', οὐ λύκον γε διώκων,
ἀλλ' ὡς ἐπιφθὰς συμμεταλάβοι θοίνης.
εἰ δ' αὖ λύκος τις μή, πρόβατον ἁρπάσων,
ἔξωθεν ἄλλος εἰς ἔπαυλιν ὁρμήσαι,
θύων λάθρα αὐτὸς σὺν κύνεσσι βεβρώκει.
ἕως ὁ ποιμήν, ἐννοήσας τὸν ῥαιστήν,
εἰς δένδρον αὐτὸν κατέπεφν' ἀναρτήσας.
 Φύσις πονηρὰ χρηστὸν ἦθος οὐ τίκτει.

71.

(ΕΛΑΙΑ ΚΑΙ ΣΥΚΗ.)

Συκῇ ποτ' ἐλαίη καλλονῆς προσήριξεν.
„ἐγὼ μέν, εἶπεν, εὐανθὴς ὅλας ὥρας,



„συκῆς δὲ τἄνθος εἰσάπαξ ἀναθάλλει
„μίαν καθ᾽ ὥραν ἠδὲ καὶ πάνυ γλίσχρως.“
ἡ δὲ πρὸς αὐτὴν τοιάδε προσημείφθη·
„ἀλλά γε χεῖμαρ ἢ χιὼν ὅταν πίπτῃ
„σοῦ δὴ κομώσης ἱζάνουσα τοῖς φύλλοις,
„κάλλος σε διέφθειρεν ἄμ᾽ εὐθαλείῃ.
„ἔμπης δ᾽ ἔμ᾽ εὑροῦσ᾽ ἐκγυμνουμένην φύλλων.“
„οὐκ ἀδικεῖ μ᾽ ὑπορρυεῖσ᾽ ἐπὶ γαίης.“
Κάλλος ἀφραῖνόν ἐστ᾽ ὄνειδος ἀνθρώπου.

72.

(ΠΑΡΔΑΛΙΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

Στικτή ποτ᾽ ηὔχει πάρδαλις φέρειν μούνη
δορὴν ἁπάντων ποικιλωτάτην ζώων.
πρὸς ἣν ἀλώπηξ εἶπ᾽· „ἐγὼ δὲ κἀκείνης
„καὶ σῆς ἔχω γε ποικιλωτέρην γνώμην.“
Πᾶς τις ἑαυτῷ τὸ προσὸν μεγαλύνει.

73.

(ΑΛΩΠΗΞ ΚΑΙ ΚΥΝΟΡΑΙΣΤΑΙ.)

Συνηγορῶν Αἴσωπος ἐν Σάμῳ τείως
τινὶ γραφὴν φεύγοντι λαγέτῃ κείνων, —
ἐτύγχαν᾽ οὗτος τῶν ἄγαν βαθυπλούτων, —
εὔμουσον εἶπε τοῖς Σαμίοισι τὸν μῦθον.
ποταμὸν περῶσα ταχύρροον ποτ᾽ ἀλώπηξ
ἐκ τῶν βιαίων ῥευμάτων ἐξεβράσθη
σπήλυγγος ἐντὸς εἰς φάραγγα βαθείης.
ἐκεῖ πεσοῦσ᾽ ἔκειτο κἀπηυδηκυῖα,
ἀναδραμεῖν τ᾽ ἐκεῖθεν οὖσά τ᾽ οὐχ οἵη,
χρόνον δὲ μακρὸν εἶχε καὶ ταλαιπώρως.
σμῆνος δ᾽ ἐπ᾽ αὐτὴν ἤλυθεν κυνορραιστῶν,
πειναλέων τε χαλμάτων μυξητήρων.

πλανώμενος δ' ἐχῖνος ὡς πάθην ὥρα,
ταύτην κατῳκτείρησεν οἷς ὑποτλεύοι.
καὶ δῆτ' ἐπηρώτησεν, εἰ κυνορραιστὰς
βούλοιτ' ἀναιρεῖν· „μηδαμῶς, ἔφη κείνη,
„μή μοι δίωκε τούσδε, μὴ σύ, πρὸς Νυμφῶν.“
„τί δή ποτ' οὖν ἀπαλλαγὴν τῶνδ' οὐ βούλει;“
ἐχῖνος ἤρετ' αὖθις. „οἵδε νῦν γάρ μοι
„πλήρεις πέλουσι παντάπασιν αἱμάτων,
„κηλὰς ἐπεῖπε, καὶ μικρόν με μυζῶσιν.
„ἐὰν κορεσθέντων δὲ τῶνδ' ἀπαλλάξῃς,
„ἄλλοι δὲ λιμοξήριοί μ' ἐπελθόντες
* * * * * *
„κεῖνοι πρόπασαν νηλεῶς ἐκπιοῦνται.“

74.

(ΣΥΣ ΚΑΙ ΚΥΩΝ.)

Σῦς καὶ κύων ἐριζέτην πρὸς ἀλλήλα
τίς εὐτοκοίη. τῆς κυνὸς μὲν εἰπούσης
τετραπόδων τάχιστα τῶν ὅλων τίκτειν,
καὶ σῦς δ' ἐπεῖπε· „μέμνησο δ' ὡς τυφλὰ τίκτεις.“

75.

(ΣΥΣ ΚΑΙ ΚΥΩΝ.)

Σῦς καὶ κύων ἐλοιδοροῦντο συναλλήλως.
καὶ σῦς μὲν ὤμνυε τὴν θεὰν Κυθηρείην
ἦ μὴν ὀδοῦσι τὴν κύν' ἀναρρήξειν.
κύων δ' ἔσκωπτε τῇ συῒ προσομνύσῃ
οὕτω Κυθήρην ἱερᾷ τάχ' ὡς οὔσῃ·
„καλῶς γε τὴν Κυθέρειαν ἡμῖν ὀμνύεις·
„δηλοῖς γὰρ ὑπ' αὐτῆς ὡς μάλιστα φιλεῖσθαι,
„ἥτις τὸν ἐσθίοντα τῶν κρεάων σῶν
„μακρὰν ἑαυτῆς ἱεροῦ παραπέμπει.“

πρὸς ταῦτα σῦς ἐγρύλλισ᾽ ἡ παλαμναίη·
„ἐντεῦθεν οὖν μάλιστα μανθάνεις πόσσῳ
„στέργουσά μ᾽ ἐστὶ πᾶσιν ἡ θεὸς θήλη.
„μισοῦσα καὶ γὰρ τὸν θέλοντά με βλάπτειν,
„ἢ καὶ κτανεῖν τολμῶντ᾽, ἀποτροπιάζει.
„σὺ δ᾽ οὖν κάκοδμος ζῶσά τ᾽ ἠδὲ τεθνῶσα."
Ἀνὴρ ἐχέφρων τὴν κακηγόρων χλεύην
πρὸς αἶνον ἀντέστρεψεν ἑὸν εὐμούσως.

76.

(ΑΓΑΘΑ ΚΑΙ ΚΑΚΑ.)

Τὰ καλὰ πάντα πρὸς κακῶν ἀπεβλήθη
κοινῆς διαίτης, ἣν ἔχον μετ᾽ ἀνθρώπων·
πληθὺς κακῶν γὰρ τἀπὶ γῆς κατεσχήκει.
ἐς οὐρανὸν δ᾽ ἵκοντο, καὶ δίκην ᾔτουν
λαβεῖν δικαίαν πρός γε τῶν διωξάντων,
μηκέτι δὲ συζῆν ἤθελον μετὰ τούτων.
ἡ γὰρ φύσις ταῦτ᾽ οὐ σοφῶς συνηνώκει.
καὶ πῶς ἂν σύνοιεν, ὡς ἔχει γε τἀνθρώπων,
μαχεύμεν᾽ αἰεὶ καὶ μάχην ἀκηρύκτως;
καὶ Ζῆν᾽ ἀπῄτουν τεθμὸν ἐν σφίσιν τάξαι.
Διὸς δὲ θεσμός· „κεῖνα μὲν μετ᾽ ἀλλήλων,
„ὑμεῖς δ᾽ ἀπέρχεσθ᾽ ἓν καθ᾽ ἓν παρ᾽ ἀνθρώπους."
τούτου χάριν γοῦν κεῖνα μὲν συναλλήλως,
καὶ γὰρ συνῆπται, κοὐδαμῶς καθ᾽ ἓν βαίνει·
καθ᾽ ἓν δὲ τὰ καλὰ πρὸς Διὸς κατέρχονται,
ἀλλ᾽ οὐδὲ πᾶσι, καὶ βράδιστ᾽, ἐς ἀνθρώπους.

77.

(ΚΑΜΗΛΟΣ ΚΑΙ ΖΕΥΣ.)

Ταύρῳ κάμηλος τῶν κερῶν παρεζήλου.
πρὸς Ζῆν᾽ ἀνῆλθε, χἰκέτευε τυχεῖν ἴσων.

ὁ Ζεὺς ἀγανακτῶν, εἴ γ' ἐβούλετο πλείω,
δέμας πελωρὸν εὐσθενές τε λαβούση
οὔκουν κέρα δέδωκε, καί τι τῶν ὤτων
κόψας παρῆρε, πλειονεξίην μισῶν.
Αἰτεῖν ἀνάρσιον ἃ παρέχεται δαίμων.

78.

(ΠΙΘΗΚΟΙ ΟΡΧΗΣΤΑΙ.)

Τὴν πυρρίχην δίδασκέ τις ἄναξ Αἰγύπτου
χορὸν πιθήκων. μῖμόν ἐστι τῶν ζώων
ὁ πίθηξ· ἃ γὰρ δέδορκε δρῶντας ἀνθρώπους,
καὐτὸς τὰ κείνων βούλεταί γε μιμεῖσθαι.
στολὴν μὲν λαμπρὰν εἱμέν' ἠδὲ κομψώδη
ἐδραματούργουν οἱ καλοί γε μορμῶπαι,
πολλῶν ὁρώντων· καὶ τέως μὲν εὐμούσως.
ἀλλά γέ τι παιπάλημα τῶν θεωρούντων
ἀφῆκεν ἐς μέσον κάρυ' ἅσσα τοῦ κόλπου.
οἱ πυρριχισταὶ δ' ὡς κυλινδούμεν' αὔθ' ὥρων,
χοροῦ τ' ἐλήθοντ', ἐνδύτας τε διέσπων,
μορμοὺς συνέθλων, ἠδ' ἐπ' αὐτὰ συνώρμων,
φανέντες οὐδὲν ἢ γένη τὰ πιθήκων.
Οὔτοι δυνηρὸν τὴν φύσιν μεταλλάττειν.

79.

(ΑΛΩΠΗΞ ΚΑΙ ΤΡΑΓΟΣ.)

Τράγος ποθ' ὥρῃ συσχεθεὶς θέρους δίψει,
ὡς εἶδε νᾶμα, κατῆλθεν εἰς βαθὺν κρημνόν.
πιὼν συνῆκεν, ὡς κατῆλθεν ἀσκέπτως,
βόθρου μόνος γὰρ οὐκ ἐδύνατ' ἐκβαίνειν.
ἑστὼς ἀνέβλεπε, καὶ βοηθὸν ἐξήτει.
διψῶσα κερδὼ τὸ σπέος παραμείβει,



ἰδοῦσα τὸν τράγον ἀσμένως ἀνηρώτα,
ὅπερ τὸ ῥεῖθρον τῶν ποτίμων ἐνυπάρχει.
κὶ φησὶν οὗτος· „καί γε σὺν διαυγείῃ·
ὅμως ἀνάντης ἠδ᾽ ἀνέκβατος σπήλυγξ.“
δὲ πρὸς εὐρυγένειον ὧδ᾽ ἀπημείφθη·
μὴ τῷδ᾽ ἀθύμει· καὶ γὰρ ὡς ἐσκεψάμην,
ἔγνωκα κεῖθεν τὴν ἀνάβασιν ῥάστην.“
κλῖνον κέρας ἔμπροσθε βοθρίου τοίχου,
ἔφησ᾽ ἀλώπηξ, ὡς ἔγωγε κατέλθω,
ἀναδραμοῦσα δ᾽ ἔνθεν ἐγώ σ᾽ ἀνελκύσω.“
ατῆλθε, καὶ πέπωκε, κἀξέβη βόθρου,
οὐδὲ σμικρόν τι τῷ τράγῳ συνηρώγει.
ιέμφετ᾽ αὐτῇ κεῖνος· ἦν γὰρ ἀγνώμων.
ηλὰς ἀνέδην ταῦτά γε προσειρήκει·
ἀλλ᾽ εἴπερ εἶχες καὶ φρένας γε τοσσαύτας,
ὅσας ὁ πώγων τὰς τρίχας διασείει,
οὐκ ἂν κατῆλθες ἀγνοῶν ἵν᾽ ἐξέλθοις.“

80.

(ΜΕΛΙΣΣΑΙ ΚΑΙ ΖΕΥΣ.)

Ὑμηττία μέλισσα, κηρίων μήτηρ,
δῶρον φέρουσ᾽ ἀνῆλθεν εἰς θεῶν οἴκους
μέλι τῷ Διῒ νεόρρυτον παρὰ σίμβλων,
μή πω καπνισθὲν ἀνθέων ἡδυπνοίων.
Ζεὺς δ᾽ ἐτέρφθη τῷ μελισσίῳ δώρῳ,
γέρας θ᾽ ὑποστὰς οἷον ἄν περ αἰτήσῃ.
αὕτη δὲ „κέντρον, εἶπε, δός, ἵν᾽ ἀνθρώπων,
„εἴ τίς τι τολμήσειε κηρίων ἅψαι,
„κεντοῦσ᾽ ἀναιρῶ τοῦτον ὃς ἐμὲ βλάπτει.“
Ζεὺς νεμεσσᾷ τοιάδε προσαιτούσης
ἔργα βροτοφθόρ᾽, ἀλλ᾽ ὅμως ἀναγκαίῃ
καὶ μὴ θέλων δέδωκεν· εἶπε γὰρ δώσειν.

δέδωκε μέντοι κέντρον ὀλεθρίου μοίρης,
ὡς τήνδε τούτῳ πλήξασαν ἔτι μὴ ζώειν.
ζωὴ γὰρ αὐτῆς ἐστι πετομένης κέντρον,
[σὺν γάρ τε τὸ ζῆν τῷδε προσαπολλύειν.]

81.

(ΠΑΙΣ ΚΑΙ ΠΑΤΗΡ.)

Υἱὸν γέρων τις δειλὸς εἶχε γενναῖον.
καθ' ὕπνον εἶδέ μιν λέοντος ὕπο τεθνήξειν.
καὶ δὴ φοβηθεὶς μὴ τοὔναρ ἀληθεύσοι,
οἴκημα τούτῳ τερπνὸν ἐδείματο σπεύσας,
χὤπως ἔχῃ τι βουκόλημα τῆς λύπης·
ἐνέθηκε τοίχοις ποικίλας γραφὰς ζώων,
ἐν οἷσι καὶ λέοντος ὄψις ἐγράφη.
ὡς οὖν ἑώρα τουτονὶ νεηνίσκος,
μᾶλλον βαρεῖα τόνδε κάτεχεν λύπη.
στὰς οὖν ἔναντι τοῦ λέοντος ἐξηύδα.
„ὦ σύγε θηρίον κάκιστον, ὁθούνεκα ψευδὲς
„ἐμὸς πατὴρ ὄνειρον εἶδε καθ' ὕπνους,
„διὰ τοῦτ' ἐγὼ καθείργομαι μάτην ὕπαρ.
„καὶ τί δὲ ποιήσω σε νῦν ἐφ' οἷς πάσχω;“
νεηνίης λέοντι ταῦτ' ἀπειλήσας
παρεξέτεινε διά τινος θυρίου χεῖρα,
νάρθηκα ῥήξων βάτιον ἐγγύθεν τοίχου.
ἔμελλε γὰρ λέοντα φλοξὶ τεφρῶσαι.
ἀλλ' οὖν ἐπλήγη φεῦ σκολόπεσσι δάκτυλον.
συνέβη παρ' αὔτ' ὄγκωμα μέχρι βουβῶνος,
ἄλγει τε δεινῷ συσχεθεὶς νεηνίσκος
ἄναυδος εὐθὺς τῷ πόνῳ κατεκλίνθη.
καὶ πορθμὸν Ἀχέροντος ἐκπέρα τλήμων.
Ἃ σοι πέπρωται, ταῦτα τλῆθι γενναίως,
καὶ μὴ σοφίζου· τὸ χρεὼν γὰρ οὐ φεύξῃ.

82.

(ΥΣ ΑΓΡΙΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

Ὗς ἄγριός ποθ᾽ ἵστατο πλήσιον δένδρου,
καὶ τοὺς ὀδόντας ἔθηγε. κηλὰς ἠρώτα,
τί δὴ παθὼν οὐκ ὄντος οὔτε κινδύνου
οὔτ᾽ αὖ κυνηγετοῦντος, ἐκτὸς ἀνάγκης
θήξειε τοὺς ὀδόντας. ὗς ἀπημείφθη·
„ἦν ἂν μάταιος καὶ κάκιστ᾽ ἀπωλόμην,
„εἴ γ᾽ ὅπλ᾽ ἐπεζήτησα παρόντος κινδύνου.“
Ὁ πᾶς ἐπιβούλευμα βίος ἐστὶν ἀνθρώπων.
ἕτοιμον εἶναι δεῖ σε, μὴ κακῶς ὄλῃ.

83.

(ΛΕΑΙΝΑ ΚΑΙ ΤΕΤΡΑΠΟΔΑ.)

Στάσις ποτ᾽ ἦλθε τοῖς τετραπόδοις ζώοις,
καύχημα κατέχουσα πρὸς τέκνων πλήθη.
καὶ δῆτ᾽ ἰόντες πρὸς λέαιναν ἠρώτων,
ταύτην ἐλέγχειν βουλόμενοί γ᾽ ἀπαιδείης.
„δεῦρ᾽, εἰπὲ καὶ σύ, παῖδας ὁππόσους τίκτεις;“
γελῶσα δ᾽ ἡ λέαινα τοῖσιν εἰρήκει·
„ἑνὰ σκύμνον μέν, ἀλλὰ πάντα γενναῖον.“
Κρείσσων ἀνὴρ εἷς εὖ φρονῶν ἀφραδοῦς πλήθους.

84.

(ΦΑΛΑΚΡΟΣ.)

Φέρων φενάκην τις φαλακρὸς ὠκύπους
ἔθει δίαυλον Ἰσθμίων ἐπ᾽ ἀγώνων.
σφοδρὸν δὲ πνεύσας εἴλεθ᾽ ὤνεμος κάρης.
ἡ δὴ τάχιστ᾽ ἀνίπτατ᾽ ἠέρος πνοιῇ.
γέλως δὲ πλατὺς τοὺς παρόντας ἐσχήκει.
ὁ ψηνὸς εἶπε, τοῦ δρόμου καταπαύσας·

„τί τὸ ξενίζον, εἰ ξένη με θρὶξ φεύγει,
„ὅπουπερ ἡμὴ κάλλιπεν ἐκ χρόνου πλείστου;“
Μηδεὶς ἐπ’ ἄρσει κτημάτων ἀνιάσθω·
χρῆσται γάρ ἐσμεν πραγμάτων βιωτικῶν.

·85.

(ΓΕΡΑΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

Φιλίαισι δεξιοῦντο ταῖς ἀμοιβαίαις
γέρανος Λίβυσσα καὶ βάσαρος ἀλώπηξ.
ὧν ἡ μὲν ἔτνος λιπαρὸν ἀνὰ πλατεῖαν
παροψίδ’ ἀγχέασα προὔθετο ξείνῃ,
καὶ προυκαλεῖτο τῆνδε λαμβάνειν δείπνων.
γέλων παρεῖχεν ἥδ’, ἐφ’ οἷς μάτην μόχθει,
τύπτουσα ῥάμφος πρὸς πέτρην ἀναλήπτως.
ὑγρὸν γὰρ ἔτνος ῥῄδιον τόδ’ ἐκφεύγει.
ἡ δ’ ἐν μέρει Λίβυσσα τῇ πανουργούσῃ
θοίνην ὑπέστη προφρόνως ἀμοιβαίην
* * * * * *
κἀν λεπτοδείρῳ λαγύνῳ κρίμνων πλήρει
ῥάμφος κατῆγε, καὶ τροφὴν ἀνειλήφει,
γελῶσ’ ἐφ’ οἷς χαίνουσα κηλὰς εἱστήκει.
κερδοῦς τὸ ῥύγχος ἀξύμβολον· χύτρης δείρῃ
* * * * * *
κερδοῖ, πέπονθας ἅπερ ἄλλον ἐπράξω.

86.

(ΓΕΩΡΓΟΣ ΚΑΙ ΦΘΕΙΡΕΣ.)

Φθεῖρες γεωργὸν ἔδακνον ἀροτριῶντα.
ὁ δὲ δὶς μὲν τἄροτρον ἀφεὶς χιτωνίσκον
ἐκάθηρεν· ὡς δ’ ἔδακνον αὖθις ἀνέδην,
ἀπαλλαγῆναι παντελῶς θέλων τούτων



χιτῶν' ἔρριψε, μὴ θαμάκις λιπουργοίη.
ὼ παραινῶ μὴ τρίτου πυρὸς δεῖσθαι,
γυναικῶν πημοναῖς τετύφωται.

87.

(ΧΑΛΚΕΥΣ ΚΑΙ ΚΥΩΝ.)

ς τις εἶχε κύν' ἐν δόμῳ τραπεζῆα.
δὲ χαλκεύοντος, ἐκεῖνος ἔδραθεν.
ἰις ἔδοντος, ἐκτάδην κύων [ὕπνου,]
πότην ἔσαινεν . . . .
. . . ὀστέων ῥίψει.
ἀγανακτῶν καὶ ῥάβδον κατασείσας,
ταλάνταт', εἶπε, τῶν κυνῶν ἄλλων,
ἂν σὲ ποιήσαιμι τοῖον, ὡς εὕδεις
τοσούτῳ κεκρατημένος τλήμων;
ποτ' ἔγνως, ὡς πόνος καλῶν δώτης;"
λῆγ' ἐπᾴδων ταῦτα τοῖσιν ἀεργοῖς·
γὰρ πᾶς τις οὐ καλῶς πράττει.

88.

(ΓΕΩΡΓΟΣ ΚΑΙ ΟΦΙΣ.)

ος ὥρῃ γηπόνος τις ὡράκει
τ' ἀγρὸν πεπηγότα σφόδρῳ κρυμῷ.
ε τοῦτον, καὶ λαβὼν θέτ' ἐν κόλπῳ,
ρέθαλπεν αὐτὸν ἀλεηθῆναι.
γεὶς δὲ τοῦ κρύους κἀνανήψας
ληξε γηπόνον τὸν σωτῆρα.
μεθῆκε, κεἶπεν ὁ τλήμων θνήσκων·
α πάσχω τὸν πονηρὸν οἰκτείρας.
ἀρ αὐτὸν κἂν ὑγιῆ κατατρίβειν."

89.

(ΧΕΙΜΩΝ ΚΑΙ ΕΑΡ.)

Χειμὼν ἐτώθαζεν εἰς ἔαρ τάδε συνείρων·
„σοῦ δὴ φανέντος οὔτις ἀτρεμῶν μίμνει.
„ὁ μὲν γὰρ ἀλσῶν ἀμόσε γ' ἠδὲ λειμώνων,
„τρέχει βαδίζων, ἢ νάπας [τε] κοιλάδας,
„ὅτῳ γ' ἐραστὸν ἀνθέων τε καὶ κρίνων
„ἢ καὶ ῥόδων ἄωτον ἡδὺ πνειόντων
„δρέποντι τέρπειν ὄμμα καὶ στέφειν κάρην.
*   *   *   *   *   *
„ἦρος μὲν οὖν τάδ'· ἀλλὰ τῶν ἐμῶν ἧττω.
„νηὸς γὰρ αὐτὸς ἀμβάτης ἁλιπλάγκτου
„κῦμ' ἐκταράσσω κἀνέμους ἀπορνύω,
„ὄμβρους ἐπάγων παγέτους τε χαλάζης,
„καὶ μὴν χιόνος τολύπευμα κρυμώδους,
„ὡς πάντας οἴκοις ἐμμένειν ἀπλανήτως,
„ἤτοι παρ' ἑστίῃσιν ἠδὲ τραπέζαις
„ἡδυκτύπῳ λύρῃ τε καὶ χοροῖς παίδων,
„ᾠδαῖς χλιδῶντας μουσικῶν ἀκουσμάτων.
„ταῦτ' ἐξ ἀμοιβῆς ἐστί σοι τὰ χειμῶνος·
„εἴπερ δὲ καὶ κλύουσιν ἄνδρες εὐφήμως
„ἐράσμιον σοῦ τοὔνομ', ἀλλὰ καὶ τοὐμὸν
„ἡδύφθογγον πέφυκεν ὀρθίῃ γνώμῃ,
„τέρψιν χέοντος ἐν δόμοισιν ἀνθρώπων."
Μὴ οὖν τὰ σαυτοῦ μεῖζον' εἰπὲ τῶν ἄλλων.
ἔνεστι καὶ γὰρ τῶν καλῶν τι κἀκείνοις.

90.

(ΧΕΛΙΔΟΝΕΣ ΚΑΙ ΚΥΚΝΟΙ.)

Χελιδόνες κύκνοισι κερτόμουν λευκοῖς,
ὡς φυγγάνοιεν τὴν δίαιταν ἀνθρώπων,



λειμῶνάς τε τούσδ' ἐφίπτασθαι,
ιοὺς καὶ νάματα λιμναῖα,
αὐτοὺς μὲν βιοῦν ἐρημαίως·
: καὶ τὴν μουσικὴν ἀποικίζειν.
, ἔφασκον, αἱ πόλεις μὲν αὐτάνδρως,
ε καὶ θάλαμοι, δόμοι τε σὺν αἰθούσαις.
λαλοῦμεν ἱστορήμαθ' ἡδίστως,
ῆτ', ἐκεῖνα, φημί, τἀρχαῖα
τα θρυλλούμεν' Ἀτθίδος χώρῃ,
Ἀθήνας, Πανδίονά τε σὺν Τηρεῖ,
ι, κῆδός τε, κἀκτομὴν γλώσσης,
νηπίαχον, ὕβριν, καὶ δέλτους,
ιετηλλάγημεν ἐς φυὴν πτηνῶν,
υσαι ταυτόμορφον ἀνθρώποις."
όλλ' ἅττ' Ἀτθίδας συνειρούσας
ὀψέ τ' ἠξίωσαν οἱ κύκνοι
υγοῦντες πουλυμυθίης ταύτης.
γ' ἠξίωσαν οὐκ ἄτερ μούσης·
υσαι πολλά, τέκν' Ἀθηναίων,
:ν εἵνεκα πᾶς τις ἂν ἀφικνοῖτο
ήμην μουσικῆς ἐπαΐσσων,
έρωμα Ζεφύριόν ποτ' ἀνῶμεν,
ηδ' εὔηχον ἄημα ῥιπίζον·
αι γὰρ ἁρμονίης μελιφθόγγου.
χάριν δή, κἄν τινα σμικρὰν ᾠδὴν
ἡμεῖς, κἂν ἄπωθεν ἀνθρώπων,
ὲ πολλοῖς· τοῦτο δὴ τῶν καλλίστων,
ιοφοῦμεν ᾀσματουργίην μέτρῳ,
ορύβοις μιγνύοντες τὰς μούσας.
πάντες εἰκότως ἀνιῶνται,
δὲ φέρουσιν ἡδέως συνοικούσας,
ὲ τὴν ἄμουσον ἀποστυγοῦσι.

„καὶ ταῦτα δ' ὑμεῖς πάσχετε καθηκόντως,
„αἵπερ παθοῦσαι μή τιν' ἐκτομὴν γλώσσης
„οὐκ ἴστε σιγᾶν, οὐδὲ μὴ τιττυβίζειν,
„ὁπόσσ' ὑπέστητ' ἐν δόμοισιν ἀνέδην.
„ἔπειτα δ' ἐστὲ καὶ λαλίσταται πάντων,
„οὐδ' εὐστομεῖτε μουσικῶν τινα φθόγγων,
„αἰεὶ δὲ θρηνεῖτ' ἐκτομήν τε τῆς γλώσσης,
„ἠδ' Ἴτυλον θανόντα φασγάνῳ Ζήθου."

91.

(ΧΥΤΡΑΙ.)

Χύτρας ποτάμιον ῥεῦμα δύο κατώθει,
ὧν ἡ μὲν ἦν ὀστράκινος, ἡ δὲ χαλκείη.
αὕτη δ' ἔφησεν ἐγγὺς οὖσα χαλκείῃ·
„μακρὰν κολύμβα, μηδὲ πλήσιον πλώει.
„εἰ γάρ τι μικρὸν ἐγγίσεις, κατακλῶμαι."
*   *   *   *   *   *

'Επισφαλὴς πένητος οἶκος δυνάστην
ἔχων πάροικον [δεινὸν ἄν τι καὶ τλήσοι].

92.

(ΨΥΛΛΑ ΚΑΙ ΑΘΛΗΤΗΣ.)

Ψύλλα καθῆστ' ἐπὶ πόδ' ἀνδρὸς ἀθλητοῦ.
σοβοῦντος ἧλτο, δήξασα τόνδε γενναίως.
ὠργίζεθ' οὗτος, καὶ λαβεῖν ἐπεζήτει.
ἡ δ' αὖθις ἧλτο, κἀποδρᾶσ' ἐσαώθη.
τοιαῦτα πάσχων ἀθλητὴς παρὰ ψύλλης
στένων ἀνεῖπεν· „Ἡράκλεις, οὐκ ἂν ἀρήξαις;"
Θεοὺς ὑβρίζειν τἀλάχιστα παραιτεῖσθαι.

93.

(ΨΥΛΛΑ ΚΑΙ ΑΝΘΡΩΠΟΣ.)

Ψύλλα δάκνουσα πόδα τινὸς παρηνώχλει.
ὁ δὲ συλλαβών, „τίς εἶσθα; φησί, καὶ δάκνεις,
„καὶ πᾶν ἀνέδην σῶμά μου σὺ λογχεύεις.“
ἡ δὲ πρὸς αὐτόν· „ἔνθεν ὁ βίος ἔσθ' ἡμῖν.
„μηδὲ κτάνῃς με, κοὐ μέγα τι κακὸν πράττω.“
ὁ δὲ πρὸς αὐτὴν εἶπεν ἀγανακτήσας·
„παρ' αὐτὰ χερσὶ ταῖς ἐμαῖς σὺ τεθνήξει.
„τὸ γὰρ κακὸν πέφυκεν εἴθε μηδ' εἴη
„αἰεὶ κακὸν κἂν μείζοσι κἂν τ' ἐλαχίστοις.“

94.

(ΨΥΛΛΑ ΚΑΙ ΒΟΥΣ.)

Ψύλλα τις ὧδε βοῦν τινά ποτ' ἠρώτα·
„τί δὴ παθὼν βροτοῖσι τοῖα δουλεύεις,
„κάμνεις ὁσημέραι τε, καὶ τάδ' ἀλκήεις
„πελώριός τε τυγχάνων; ἐγὼ μέντοι
„μικρά περ οὖσα σάρκας αὐτέων δάκνω,
„πίνουσα χανδὸν αἷμ' ἐρυθρὸν ἀδείμων.“
βοῦς εἶπ'· „ἐγώ τις οὐχ ἄχαρις ἀνθρώπων . . .
„στέργουσι γάρ με, καὶ φιλοῦσι βοῦν πάντῃ,
„καταψάοντες θαμὰ μέτωπον ἠδ' ὤμους.
„κνῶντες δέ με τρίβουσιν ἐν θυμηδείῃ.“
ἔφη δ' ἐκείνη τῷ βοῒ πολυτλήτῳ·
„ἀλλ' οὖν ἔμοιγε τῇ μάλιστα δειλαίῃ
„ἡ σή γε τρίψις οἶτος αἰνὸς ἐκβαίνει,
„ὅταν τυχὸν λάβωσιν ὄνυχες ἀνθρώπων.“
Στέργει τις ἀεὶ παρ' ὅτου καλῶς πάσχει,
τίνει δὲ τὸν βλάπτοντα δυσμενεῖ γνώμῃ.

95.

(*ΟΝΟΥ ΣΚΙΑ*.)

Ὥρῃ θερείῃ τισποτοῦν Ἀθηναίων
ὀνηλάτῃ κάνθωνα συμβαλὼν ῥητοῖς
ἐξ ἄστεος Μέγαράδ' ἐτύγχανεν βαίνων.
ὁδοιπορῶν δὲ μεσημβρίης ἐφεστώσης,
ἥλιος ὅταν ἀκτῖνας ἀλεὴς πέμπῃ,
ὁδίτης ὀνείην ἤθελε σκιὴν δῦναι,
ὑπεκφυγεῖν φλογῶδες ἡλίου καῦμα.
ὀνηγὸς ἀντέλεξε, μὴ σκιὴν στῆσαι,
ὄνον δὲ μοῦνον ἐφιζάνειν συνειρῆσθαι.
ὁ δ' ἀντέθηκεν αὖθις, ἐκμεμισθῶσθαι
ὄνον ἅπαντα τῆς σκιῆς ὀπηδούσης.
οὕτως ἔρις [δὲ] περὶ σκιῆς μάτην ἔρρει.

POETAE MELICI.



I.

EUMELUS.

ΠΡΟΣΟΔΙΟΝ ΕΙΣ ΔΗΛΟΝ.

ὰρ Ἰθωμάτᾳ καταθύμιος ἔπλετο Μοῖσα
ιαρὰ . . . καὶ ἐλεύθερα σάμβαλ' ἔχουσα.

II.

TERPANDER.

I. ΕΙΣ ΔΙΑ.

1.

τάντων ἀρχά,
ον ἀγήτωρ,
σοὶ σπένδω
ιν ὕμνον ἀρχάν.

II. ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

2.

μοι αὖτε ἄναχθ' ἑκαταβόλον
τω φρήν.

III. (ΕΙΣ ΑΠΟΛΛΩΝΑ ΚΑΙ ΜΟΥΣΑΣ.)

* 3.

Σπένδωμεν ταῖς Μνάμας
παισὶν Μώσαις
καὶ τῷ Μωσάρχῳ
Λατοῦς υἱεῖ.

IV. (ΕΙΣ ΔΙΟΣΚΟΥΡΟΥΣ.)

* 4.

Ὦ Ζηνὸς καὶ Λήδας κάλλιστοι σωτῆρες.

5.

Σοὶ δ' ἡμεῖς τετράγηρυν ἀποστέρξαντες ἀοιδάν
ἑπτατόνῳ φόρμιγγι νέους κελαδήσομεν ὕμνους.

6.

Ἔνθ' αἰχμά τε νέων θάλλει καὶ μῶσα λίγεια
καὶ δίκα εὐρυάγυια, καλῶν ἐπιτάρροθος ἔργων.

IV.

ALCMAN*).

ΥΜΝΟΣ ΕΙΣ ΔΙΑ ΛΥΚΑΙΟΝ. 1—11.

1. [1.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑
–́ ⏑ ⏑ – ⏑ ⏑ ⏑̲
⏓ –́ ⏑ – ⏑ – ⏓ –́ ⏑ – ⏓

---

*) Numeri adiecti sunt editionis Welckerianae.

[redacted]

ὦσ' ἄγε, Μῶσα λίγεια πολυμμελὲς
ενάοιδε μέλος
οχμὸν ἄρχε παρσένοις ἀείδεν.

2. [31.]

. . . Ἐγώνγα δ' ἀείσομαι
Διὸς ἀρχομένα.

3. [78.]

ιέ τε καὶ σφετέρως
πως . . . . . .

4. [2.]

αὶ ναὸς ἁγνὸς εὐπύργω Σεράπνας.

* 6.

ερσόνδε κωφὸν ἐν φύκεσσι πίτνει.

7. [6.]

Μῶσα κέκλαγ', ἁ λίγεια Σειρήν.

* 8.

ὼς τέκε οἱ θυγάτηρ
λαύκω μάκαιρα.

ΥΜΝΟΣ ΕΙΣ ΔΙΟΣΚΟΥΡΟΥΣ. 12—17.

12. [3.]

– ∪ – ∪ – ∪ – ∪ – ∪ – ∪ – ∪ – ∪
– ∪ – ∪ – ∪ . . .
άστωρ τε πώλων ὠκέων δματῆρες, ἱππόται σοφοί,
ιὶ Πωλυδεύκης κυδρός.

* 13. [66.]

αὶ κῆνος ἐν σάλεσσι πολλοῖς ἥμενος μάκαρς ἀνήρ.

* 14.

Μάκαρς ἐκεῖνος.

16.

Pagina I.

Τὸν ἔκτα Πωλυδεύκης,
καὶ σέ, Λύκαισ᾽, ὃν ἐν καμοῦσιν ἀλέγω,
Ἐναρσφόρον τε καὶ Σέβρον ποδώκη,
Ἄλκιμον τε τὸν βιατάν,
ἵππων τε τὸν κορυστάν,
Εὐτείχη τε ϝάνακτα ϝαρήιον,
Δορκέα τ᾽ ἔξοχον ἡμισίων,
καὶ στρατῶ τὸν ἀγρέταν
Εὐμήδη μέγαν, Εὔρυτόν τε
ἐσλὸν ἀν πώρω κλόνον,
ἄλλως τε τὼς ἀρίστως
ἥρωας παρήσομες.
Οὕτω γὰρ αἶσα· παντῶν
ὃν τέκον σιῶν γεραιτάτοι
Πόρος τε Γᾶ τε, δεινὸς ἀλκᾷ,
ἔργων ἀπερώπων ἐς ὠρανὸν ποτήσθω
μάρτυς ἀρρήτων γάμων τὰν Ἀφροδίταν.

Pagina II.

Ἄλαστα δὲ
ἔργα πάσον κακὰ μησαμέναι.
ἔστι τις σιῶν τίσις.
ὁ δ᾽ (ὄλβι)ος, ὅστις εὔφρων
ἁμέραν (δι)απλέκει
ἀκήρυκτος· ἐγὼν δ᾽ ἀείδω
Ἀγιδῶ· τὸ φῶς ὅρω-
ρ᾽ εὐϝάλιον, ὅνπερ ἅμιν



Αγιδῶ μαρτύρεται·
Φαένναν ἐμὲ δ' οὔτ' ἐπαινὲν
οὔτε καμέσθαι νιν ἁ Κλεννὰ
οὐδ' Ἀὼς ἐῆ· δοκέει γὰρ ἦμεν αὕτα
εὐπρεπὴς τώς, ᾧπερ αἴ τις
ἐν βάτοις στάσειεν ἵππον
Καιρὸν ἀεθλοφόρον καναχαδὰ (θέοντα).
Π(αὖ') ὑποπετριδίων ὀνείρων.
οὐχ ὁρῇς, ὁ μὲν κέλης
Ἐνετικός, ἁ δὲ χαίτα
τᾶς ἐμᾶς ἀνεψιᾶς
Ἀγησιχόρας ἐπανθεῖ
ἀρύσας ἀκήρατος
τὸ ϝαργύριον πρόσωπον.
Διαφράδαν τί τοὶ λέγω;
Ἀγησιχόρα μὲν αὕτα·
ἁ δὲ δευτέρα πέδ' ἀηδῷ τὸ εἶδος
ἱπποσύβην κόλαξ Διὸς δραμεῖται.
ταὶ πελειάδες γὰρ ἁμίν
Ὀρθίᾳ φάρος φεροίσαις
νύκτα δι' ἀμβροσίαν ἀπ' ἐσχάτων
ἆσσον αὐειρομέναι μάχονται.
Οὔτε γάρ τι πορφύρας
τόσσος κόρος, ὥστ' ἀμύναι,
οὔτε ποικίλος δράκων
παγχρύσιος, οὐδὲ μίτρα
Λυδία νεανίδων

Pagina III.

ϝιανοφόρων ἄγαλμα,
οὐδὲ γύννιος κόμαι,
ἀλλ' οὐδὲ ταϝὼς εὐειδής,

οὐδὲ κύπασσις Ἥρας,
οὐδ' ἐς ἄσάς — ἄνθεμα φασεῖς —
ἀσταφίς.

* 17. [22.]

Ἔπη τάδε καὶ μέλος Ἀλκμάν
εὗρε, γεγλωσσαμένον
κακκαβίδων στόμα συνθέμενος.

(ΕΙΣ ΗΡΑΝ.)

18. [29.]

Καὶ τὶν εὔχομαι φέροισα
τόνδ' ἑλιχρύσω πυλεῶνα
κήρατῶ κυπαίρω.

(ΕΙΣ ΑΠΟΛΛΩΝΑ.)

19. [67.]

Ἐμέ, Λατοΐδα, τέο δαυχνοφόρον.

ΕΙΣ ΑΡΤΕΜΙΝ.

* 20. [113.]

Ἐπαμμένα πέρι δέρματα θηρῶν.

* 21.

Οὐδὲ τῶ Κνακάλω οὐδὲ τῶ Νυρσύλα.

22. [18.]

Θριδακίσκα τε καὶ κριβανωτός . .

[redacted]

ΕΙΣ ΑΦΡΟΔΙΤΑΝ.

23. [33.]

ἱμερτὰν λιποῖσα καὶ Πάφον περιρρύταν.

(ΠΑΙΑΝ.)

24. [37.]

⏑ ⏑ – ⏕
– ⏑ ⏑ – ⏕
⏑ – –

δὲ καὶ ἐν θιάσοισιν
ν παρὰ δαιτυμόνεσσιν
ιαιᾶνα κατάρχειν.

---

25. [11.]

⏑ – ⏑
⏑ – ⏑
⏑ –
⏑ – –
⏑ – –

ἀνὴρ ἄγροικος οὐδέ
ὐδὲ παρὰ σοφοῖσιν
σαλὸς γένος
υσιχαῖος οὐδὲ ποιμήν,
ρδίων ἀπ' ἀκρᾶν.

26. [12.]

ι, παρθενικαὶ μελιγάρυες ἱμερόφωνοι,
ιειν δύναται· βάλε δὴ βάλε κηρύλος εἴην,
ι κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτῆται
ἦτορ ἔχων, ἁλιπόρφυρος εἴαρος ὄρνις.

27. [13.]

Πολλαλέγων ὄνυμ' ἀνδρί, γυναικὶ δὲ Πασιχάρ

28. [21.]

Δῦσαν δ' ἄπρακτα νεανίδες, ὥστ'
ὄρνεις ἱέρακος ὑπερπταμένω.

29.

Ζεῦ πάτερ, αἱ γὰρ ἐμὸς πόσις εἴη.

30. [79.]

Σφεὰ δὲ προτὶ γούνατα πίπτω.

31. [80.]

Τῷ δὲ γυνὰ ταμία σφεᾶς ἔειξε χώρας.

32. [114.]

(Ἄρκτον δ') ἐπ' ἀριστερὰ χηρὸς ἔχων.

33. [23.]

Καί ποκά τοι δώσω τρίποδος κύτος,
ᾧ κ' ἔνι . . . . . λε' ἀγείρῃς·
ἀλλ' ἔτι νῦν γ' ἄπυρος, τάχα δὲ πλέος
ἔτνεος, οἷον ὁ παμφάγος Ἀλκμάν
ἠράσθη χλιερὸν πεδὰ τὰς τροπάς·
οὔτι γὰρ ἠῢ τετυγμένον ἔσθει,
ἀλλὰ τὰ κοινὰ γάρ, ὥσπερ ὁ δᾶμος,
ζατεύει.

34. [25.]

Πολλάκι δ' ἐν κορυφαῖς ὀρέων, ὅκα
θεοῖσιν ἅδῃ πολύφαμος ἑορτά,
χρύσιον ἄγγος ἔχοισα μέγαν σκύφον,
οἷά τε ποιμένες ἄνδρες ἔχουσιν,

εόντειον γάλα θήσαο,
'τύρησας μέγαν ἄτρυφον ἀργιφόνταν.

* 35. [14.]

'άρ ἄντα τῷ σιδάρῳ τὸ καλῶς κιθαρίσδειν.

36. [26.]

ε δαὖτε Κύπριδος ϝέκατι
κατείβων καρδίαν ἰαίνει.

37. [27.]

. ⏑́ ⏑ – ⏓
· ⏑́ ⏑ –
· – ⏑ –
χδεᾶν Μωσᾶν ἔδειξεν
ιάκαιρα παρθένων
ὰ Μεγαλοστράτα.

38. [34.]

τα μὲν οὐκ ἔστι, μάργος δ' Ἔρως οἶα παῖς παίσδει
' ἄνθη καβαίνων, ἃ μή μοι θίγῃς, τῶ κυπαιρίσκω.

39. [30.]

⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –
ν ὅρμον ἔχων ῥαδινᾶν πετάλοισι καλχᾶν.

40. [50.]

ις, αἰνόπαρις, κακὸν Ἑλλάδι βωτιανείρῃ.

41. [51.]

ς' Ὀδυσσῆος ταλασίφρονος ὦαθ' ἑταίρων
ἐπάλειψ . . . ασα.

42. [82.]

Τίς δ' ἄν, τίς ποκα ῥᾶ ἄλλω νόον ἀνδρὸς ἐπίσπ

43. [124.]

Καὶ ποικίλον ἶκα, τὸν ἀμπέλων
ὀφθαλμῶν ὀλετῆρα.

44. [116.]

Τῷ δὲ σκομύνθεα κατ' ἀν κάρραν μάβως ἐπίαζε

45. [4.]

Μῶσ' ἄγε, Καλλιόπα, θύγατερ Διός,
ἄρχ' ἐρατῶν ἐπέων, ἐπὶ δ' ἵμερον
ὕμνῳ καὶ χαρίεντα τίθει χορόν.

46. [40.]

Πάρ θ' ἱερὸν σκόπελον παρά τε Ψύρα.

47. [7.]

Εἴπατέ μοι τάδε, φῦλα βροτήσια.

48. [47.]

Οἷα Διὸς θυγάτηρ
ἔρσα τρέφει καὶ Σελάνας [δίας].

49. [64.]

Ταῦτα μὲν ὡς ἂν ὁ δᾶμος ἅπας.

50. [60.]

Μέγα γείτονι γείτων.

51. [65.]

Οὐ γὰρ ἐγώνγα, Ϝάνασσα, Διὸς θύγατερ.

52. [69.]

Πρὸς δὲ τὲ τῶν φίλων.

* 53.

Τεὶ γὰρ 'Αλέξανδρος δάμασεν.

* 54.

Σὲ γὰρ ἅζομαι.

55.

Ἔχει μ' ἄχος, ὦ 'λὲ δαῖμον.

56. [81.]

Σφοῖς ἀδελφιδεοῖς
κᾶρα καὶ φόνον.

* 57.

Μηδέ μ' ἀείδην ἀπέρυκε.

58. [123.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ – –

– –́ ⏑ – – –́ ⏑ . . . .

'Ρίπας, ὄρος ἀνθέον ὕλᾳ,
Νυκτὸς μελαίνας στέρνον.

59. [5.]

–́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

–́ ⏑ ⏑ – ⏑⏑́ ⏑ – ⏑ –

Μῶσα, Διὸς θύγατερ,
ὠρανίαφι λίγ' ἀείσομαι.

60. [10.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏓

⏑ – ⏑ –́ ⏑ – –

⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑

⏑ ⏑ – – –́ ⏑ – ⏑ – ⏑ – –

– –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
⏒ – –́ ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ –

Εὕδουσιν δ' ὀρέων κορυφαί τε καὶ φάραγγες,
πρώονες τε καὶ χαράδραι,
φύλλα θ' ἑρπετά θ' ὅσσα τρέφει μέλαινα γαῖα,
θῆρες ὀρεσκῷοί τε καὶ γένος μελισσᾶν
καὶ κνώδαλ' ἐν βένθεσι πορφυρέας ἁλός·
εὕδουσιν δ' οἰωνῶν
φῦλα τανυπτερύγων.

61.

Ἠρ' αὐτὸν Φοῖβον ὄνειρον εἶδον.

62. [45.]

. (*Τύχα*), *Εὐνομίας τε καὶ Πειθοῦς ἀδελφὰ*
καὶ Προμαθείας θυγάτηρ.

63. [59.]

Πεῖρά τοι μαθήσιος ἀρχά.

64. [121.]

Ἔστι παρέντων μνᾶστιν ἐπιθέσθαι.

65. [72.]

Ὡς ἀμὲς τὸ καλὸν μελίσκον.

66. [73.]

. . . *Ὅσαι δὲ παίδες ἀμέων*
ἐντί, τὸν κιθαριστὰν αἰνέοντι.

67.

Οἶδα δ' ὀρνίχων νόμως
πάντων.

68. [52.]

ὶ δὲ ξυστῷ μέμηνεν Αἴας αἱματᾷ τε Μέμνων.

69. [48.]

έθεν πάλοις ἔπαλεν δαίμονάς τ' ἐδάσσατο.

70. [19.]

ὶ τᾷ μύλᾳ δρυφῆται κῆπὶ ταῖς συναικλίαις.

71. [26.]

ιον Ἀλκμάων ἁρμόξατο.

72.

έ τις σκάφευς ἀνάσσων.

73. [36.]

σθ' Ἀπόλλωνος Λυκήω.

74. [17.]

ναι μὲν ἑπτὰ καὶ τόσαι τράπεσδαι
ωνίδων ἄρτων ἐπιστέφοισαι,
ι τε σασάμῳ τε κὴν πελίχναις
σσι χρυσοκόλλα.

75. [28.]

ι παρέξει πυάνιόν τε πόλτον
ον τε λευκὸν κηρίναν τ' ὀπώραν.

76. [24.]

ς δ' ἔσηκε τρεῖς, θέρος
χεῖμα κὠπώραν τρίταν,
τέτρατον τὸ Ϝῆρ, ὅκα
λει μέν, ἐσθίεν δ' ἄδαν
ἔστιν.

77. 78. [74. 75.]

. . . . . *Αἰ γάρ ἄμιν*
τούτων μέλοι . . .
Ἁμὶν δ' ὑπαυλήσει μέλος.

79. [77.]

Καὶ χεῖμα πῦρ τε δάϝιον.

80.

Οἶκας μὲν ὡραίῳ λίνῳ.

81.

Λεπτὰ δ' ἄταρπος, νηλεὴς δ' ἀνάγκα.

82. [63.]

⏕ ⏑ – – ⊥ ⏑ – – ⊥ ⏑ –
Φρύγιον αὔλησεν μέλος Κερβήσιον.

83. 84. [35.]

Περισσόν· αἶ γὰρ Ἀπόλλων ὁ Λύκηος.
Ἰνὼ σαλασσομέδοισ', ἂν ἀπὸ μάσδων.

85. [7.]

Ἕκατον μὲν Διὸς υἱὸν τάδε Μῶσαι κροκόπεπλοι.

86. [60.]

Ἅδοι Διὸς δόμῳ
ὁ χορὸς ἁμὸς καὶ τοί, ϝάναξ.

87. [53.]

⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏓
⏑ ⊥ ⏑ – ⏑ ⏑ ⊥ – ⏑ ⏑ ⊥ –
⏑ ⏑ ⊥ ⏑ ⏑ – ⏒
⏑ ⏑ ⊥ ⏑ ⏑ – –

ʼΑνὴρ δʼ ἐν ἀρμένοισιν
ἀλιτρὸς ἧστʼ. ἐπὶ θάκας κατὰ πέτρας
ὁρέοντι μὲν οὐδέν,
δοκέοντι δʼ (ἐοικώς).

88.

Ὁπότε ὑπὸ τοῦ Ἱππολόχου, κλέος δʼ ἔβαλλον οὐ νῦν ὑπεστάντων.

89. [83.]

Νικῷ δʼ ὁ κάρρων.

90. [85.]

Μῆον ἢ κοδύμαλον.

91. [87.]

Μάγαδιν δʼ ἀποθέσθαι.

92. [100.]

Ταυσία παλλακίω.

93. [105.]

Καὶ Κέρκυρος ἀγεῖται.

94. [106.]

Ὄκκα δὴ γυνὰ εἴην.

95. [109.]

Ἐν Θεσσαλίῳ κλείτει.

96. [118.]

Λᾶδος εἰμένα καλόν.

97. [120.]

Τὰν Μῶσαν καταυσεῖς.

98. [103.]

Καλλὰ μελισδομέναι.

99. [76.]

Τὰ ϝὰ κάδεα.

100. [16.]

Τὸ νέκταρ ἔδμεναι.

101

Ἀρτέμιτος θεράποντα.

V.

ARION.

– –́ ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
– –́ ⏑ – –́ ⏑ ⏑ – –
–́ ⏑ – ⏑ ⏔́ ⏑ – –
– –́ ⏑ – –́ ⏑ ⏑ –
– –́ ⏑ ⏑ – –́ ⏑ ⏓
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ ⏔ ⏑ –́ ⏑ ⏓
×̲ – –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ – –
– –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ – –́ ⏑ ⏑ – –
⏔̽ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ –
– –́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ – ⏓



Ὕψιστε θεῶν,
πόντιε χρυσοτρίαινα Πόσειδον,
γαιάοχ', ἐγκύμον' ἀν' ἅλμαν·
βραγχίοις περὶ δὲ σὲ πλωτοὶ
θῆρες χορεύουσι κύκλῳ,
κούφοισι ποδῶν ῥίμμασιν
ἐλάφρ' ἀναπαλλόμενοι, σιμοί,
φριξαύχενες, ὠκύδρομοι σκύλακες, φιλόμουσοι
δελφῖνες, ἔναλα θρέμματα
κουρᾶν Νηρεΐδων θεᾶν,
ἃς ἐγείνατ' Ἀμφιτρίτα·
οἵ μ' εἰς Πέλοπος γᾶν ἐπὶ Ταιναρίαν
ἀκτὰν ἐπορεύσατε πλαζόμενον Σικελῷ ἐνὶ πόντῳ,
κυρτοῖσι νώτοις ὀχέοντες,
ἄλοκα Νηρεΐας πλακός·
τέμνοντες, ἀστιβῆ πόρον, φῶτες δόλιοι
ὥς μ' ἀφ' ἁλιπλόου γλαφυρᾶς νεώς
εἰς οἶδμ' ἁλιπορφύρου λίμνας ἔριψαν.

VI.

SAPPHO.

1. [1.] *)

Ποικιλόθρον', ἀθάνατ' Ἀφρόδιτα,
παῖ Δίος, δολόπλοκε, λίσσομαί σε
μή μ' ἄσαισι μήτ' ὀνίαισι δάμνα,
πότνια, θῦμον·

---

*) Numeri adiecti sunt editionis Neuianae.

ἀλλὰ τυῖδ' ἔλθ', αἴποτα κἀτέρωτα
τᾶς ἔμας αὔδως ἀΐοισα πήλυι
ἔκλυες, πάτρος δὲ δόμον λίποισα
χρύσιον ἦλθες
ἄρμ' ὐποζεύξαισα· κάλοι δέ σ' ἆγον
ὤκεες στροῦθοι περὶ γᾶς μελαίνας
πύκνα δινεῦντες πτέρ' ἀπ' ὠράνω αἴθε-
ρος διὰ μέσσω.
αἶψα δ' ἐξίκοντο· τὺ δ', ὦ μάκαιρα,
μειδιάσαισ' ἀθανάτῳ προσώπῳ,
ἤρε', ὄττι δηὖτε πέπονθα κὤττι
δηὖτε κάλημι,
κὤττ' ἔμῳ μάλιστα θέλω γένεσθαι
μαινόλᾳ θύμῳ· τίνα δηὖτε Πείθω
μαῖς ἄγην ἐς σὰν φιλότατα, τίς σ', ὦ
Ψάπφ', ἀδικήει;
καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει,
αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει,
αἰ δὲ μὴ φίλει, ταχέως φιλήσει
κωὐκ ἐθέλοισα.
ἔλθε μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
ἐκ μεριμνᾶν, ὄσσα δέ μοι τέλεσσαι
θῦμος ἰμέρρει, τέλεσον· σὺ δ' αὔτα
σύμμαχος ἔσσο.

2. [2.]

Φαίνεταί μοι κῆνος ἴσος θέοισιν
ἔμμεν ὤνηρ, ὄστις ἐναντίος τοι
ἰζάνει, καὶ πλασίον ἆδυ φωνεύ-
σας ὐπακούει
καὶ γελαίσας ἰμερόεν, τό μοι μὰν
καρδίαν ἐν στήθεσιν ἐπτόασεν·

ὡς γὰρ εὔιδον βροχέως σε, φώνας
οὐδὲν ἔτ᾽ εἴκει·
ἀλλὰ καμ μὲν γλῶσσα ἔαγε, λέπτον δ᾽
αὔτικα χρῷ πῦρ ὑπαδεδρόμακεν,
ὀππάτεσσι δ᾽ οὐδὲν ὄρημ᾽, ἐπιρρόμ-
βεισι δ᾽ ἄκουαι.
ἀ δέ μ᾽ ἴδρως κακχέεται, τρόμος δὲ
πᾶσαν ἄγρει, χλωροτέρα δὲ ποίας
ἔμμι, τεθνάκην δ᾽ ὀλίγω ᾽πιδεύης
φαίνομαι (ἄλλα).
ἀλλὰ πὰν τόλματον, [ἐπεὶ καὶ πένητα].

3. [3. 106.]

Ἄστερες μὲν ἀμφὶ κάλαν σελάνναν
ἂψ ἀποκρύπτοισι φάεννον εἶδος,
ὄπποτα πλήθοισα μάλιστα λάμπῃ
γᾶν . . .
. . . . ἀργυρία.

4. [4.]

Ἀμφὶ δὲ [ὕδωρ] ψῦχρον κελάδει δι᾽ ὕσδων
μαλίνων, αἰθυσσομένων δὲ φύλλων
κῶμα καταρρεῖ.

5. [5.]

. . . . Ἔλθε Κύπρι
χρυσίαισιν ἐν κυλίκεσσιν ἄβρως
συμμεμιγμένον θαλίαισι νέκταρ
οἰνοχοεῦσα.

6. [6.]

Ἤ σε Κύπρος ἢ Πάφος ἢ Πάνορμος.

7. * 8. [7.]

Σοὶ δ' ἔγω λεύκας ἐπὶ βῶμον αἶγος
* * *
κἀπιλείψω τοι.

* 9.

Αἴθ' ἔγω, χρυσοστέφαν' Ἀφρόδιτα,
τόνδε τὸν πάλον λαχόην.

10. [90.]

Αἴ με τιμίαν ἐπόησαν ἔργα
τὰ σφὰ δοῖσαι.

11. [47.]

. . . . . *Τάδε νῦν ἐταίραις*
ταῖς ἔμαισι τέρπνα κάλως ἀείσω.

12. [87.]

. . . . *Ὄττινας γάρ*
εὖ θέω, κῆνοί με μάλιστα σίνον-
ται . . . .

* 14.

Ταῖς κάλαις ὔμμιν (τὸ) νόημα τὦμον
οὐ διάμειπτον.

16. [8.]

Ταῖσι (δὲ) ψῦχρος μὲν ἔγεντο θῦμος,
παρ δ' ἴεισι τὰ πτέρα . . .

17. [11.]

Τὸν δ' ἐπιπλάζοντες ἄμοι φέροιεν
καὶ μελεδώναις.

18. [12.]

Ἀρτίως μ' ἀ χρυσοπέδιλος Αὔως.

19. [83.]

. . . . Πόδας δέ
ποίκιλος μάσλης ἐκάλυπτε, Λύδι-
ον κάλον ἔργον.

20. [84.]

. . . . Παντοδάπαις μεμιγμέ-
να χροΐαισιν.

* 21.

. . . Ἔμεθεν δ' ἔχεισθα λάθαν.

* 22.

. . . . . Ἤ τιν' ἄλλον
(μᾶλλον) ἀνθρώπων ἔμεθεν φίλησθα.

26. [135.]

Κεῖνον, ὦ χρυσόθρονε Μοῦσ', ἔνισπες
ὕμνον, ἐκ τᾶς καλλιγύναικος ἐσθλᾶς
Τήιος χώρας ὃν ἄειδε τερπνῶς
πρέσβυς ἀγανός.

---

27. [93.]

Σκιδναμένας ἐν στήθεσιν ὄργας
μαψυλάκαν γλῶσσαν πεφύλαχθαι.

---

28. [61.]

Αἰ δ' ἦχες ἔσλων ἴμερον ἢ κάλων,
καὶ μή τι ϝείπην γλῶσσ' ἐκύκα κάκον,
αἴδως κέ σ' οὐ κίχανεν ὄππατ',
ἀλλ' ἔλεγες περὶ τῶ δικαίως.

---

29. [62.]

Στᾶθι κἄντα φίλος . .
καὶ τὰν ἐπ' ὄσσοις ἀμπέτασον χάριν.

---

30. [66.]

Χρύσειοι δ' ἐρέβινθοι ἐπ' ἀϊόνων ἐφύοντο.

31. [67.]

Λάτω καὶ Νιόβα μάλα μὲν φίλαι ἦσαν ἕταιραι

32. [16.]

Μνάσασθαί τινά φαμι καὶ ὕστερον ἄμμεων.

33. [14.]

Ἠράμαν μὲν ἔγω σέθεν, Ἄτθι, πάλαι πότα.

34. [27.]

Σμίκρα μοι πάϊς ἔμμεν ἐφαίνεο κἄχαρις.

* 35.

Ἄλλα, μὴ μεγαλύνεο δακτυλίω πέρι.

36.

Οὐκ οἶδ' ὄττι θέω· δύο μοι τὰ νοήματα.

37. [9.]

